κτήτης] Cod. κτῆται, et mox θλάττης. R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 126. „θλάτης legendum ex Phavorino et Etymolog. M. p. 40,50. Conferendus est canon a Scholiasta Veneto traditus ad Iliad. E. 158.“

13. Phavor. h. v. p. 84,14. R. W. in *Mus. Crit. Can-*

κατὰ ἀφαίρεσιν τοῦ πρώτου συμφώνου. Ἴωνες γὰρ καὶ Αἰολεῖς εἰώθασιν αἱρεῖν τὰ πρῶτα σύμφωνα τῶν λέξεων· ἄν τε ἓν ᾖ, οἷον λαιψηρὸς, αἰψηρός· ἄν τε δύο, οἷον πλευρὰξ, εὐρὰξ, τὸ παρὰ πλευρὰν ἑστάναι εἶπεν ὁ ποιητής. οὕτω καὶ πλάνη, καὶ πλανᾶσθαι, ἀπελεύσει τῶν καταρχόντων δύο συμφώνων, ἄλη, καὶ ἀλᾶσθαι γίνεται, ἀντιθέσει τοῦ ν̄ εἰς λ̄, ᾧ ἀντιστοιχοῦσι Δοριεῖς ἐν τῷ φίντατος, φίλτατος· ἦνθεν, ἦλθεν· φίντις. φίλτις.

14. ΑἸΏΝ· ὁ χρόνος, καὶ ἡ ζωὴ καὶ ὁ βίος. γίνεται ἐκ τοῦ ἀεὶ καὶ τοῦ ὢν, καὶ κράσει τοῦ ε̄ καὶ ᾱ, καὶ ἐν συναιρέσει αἰών. κλίνεται ἀρσενικῶς

tabr. vol. 1. p. 126. „Minime praetermittendum est quod in fine huius periochae apud Phavorinum legitur, ἔλετο, ἔντο, καὶ Δωρικῶς γίντο· κέλετο, κέντο παρὰ Ἀλκμᾶνι. Cf. Schol. ad Theocr. I. 77. Koen. ad Gregor. p. 87."

αἱρεῖν] Cod. et Phav. αἴρειν, quos Editor secutus est. De qua aphaeresi Ionibus propria vide Manuelem Moschopulum *Excerptorum* auctorem, quae e cod. Paris. proferuntur in Schaeferi Gregor. Cor. p. 675. augerique possunt e codd. Italiae bibliothecarum.

ὁ ποιητής] Iliad. λ, 251. ο,541. Adde Aristophan. Av. 1258.

φίντατος] Epicharm. apud Athen. p. 325. F. Cf. Schol. Theocrit. 1,77. Etym. M. p. 503,48. Mox ἦνθεν dixit Theocritus 1,77. 81. Denique φίντις est nomen proprium Doriensium, obvium in Pindar. Olymp. 6,37. ibiq. Schol. Valckenar. ad Adoniaz. p. 412. A. (p. 259. Berol.)

14. Phav. h. v. p. 84,30.

καὶ θηλυκῶς, ὡς παρὰ τῷ ποιητῇ, φίλης αἰῶνος ἀμερθῆς· καὶ σκοτίαν αἰῶνα, παρὰ τραγικοῖς. αἰὼν καὶ ὁ νωτιαῖος μυελός.

15. ἈΚΕΡΣΕΚΌΜΗΣ· ὁ μὴ κείρων τὴν κόμην, ἐκ τοῦ κείρω, κέρσω· οὕτως γὰρ ὤφειλεν. ἀλλ' ὅτι ἀμετάβολον, ἑπομένου τοῦ σ, οὐχ εὑρίσκεται, ποιεῖ κερῶ. ἐκ δὲ τοῦ κέρσω πρώτου προσώπου, κερσοκόμης, διὰ τοῦ ο μικροῦ. πᾶς γὰρ ἐνεστὼς ἐν πρώτῳ προσώπῳ ἐν συνθέσει τὸ ω μέγα

τῷ ποιητῇ] Iliad. χ, 58. Mox ἀμερθῆς ex Homero reposui pro edito ἀμερθεὶς, quae codicis lectio est.

σκοτίαν αἰῶνα] R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 126 „Voces σκοτίαν αἰῶνα sunt ex Eurip. Phoeniss. 1498., unde adducuntur ab Eustath. ad Iliad. Δ. p. 501 [p. 382,38.] Mox νωτιαῖος [Codex νωταῖο] μυελὸς recto Phavorinus. Schol. Venet. ad Iliad. T. 27. Ἐκ δ' αἰὼν πέφαται] — ἤγουν ὁ νωτιαῖος μυελὸς, quo respicit Hesychius. Τινες δὲ τῶν νεωτέρων τὸν νωτιαῖον μυελὸν ἀπέδωκαν, ὡς Ἱπποκράτης. Τὸν αἰῶνα τίς νοσήσας, ἑβδομαῖος ἀπέθανεν, qui locus Erotiano citatur p. 16., Pindari etiam testimonio adducto, αἰὼν δὲ δι' ὀστέων ἐῤῥαῖσθη. Ceterum αἰὼν generis est muliebris in Iliad. X. 58. a Philemone allegato, φίλης αἰῶνος ἀμερθῆς, quem locum imitatur Simonides Anthol III. XXIII. 15. Ἦ καὶ Τίμαρχον γλυκερῆς αἰῶνος ἄμερσας, Pindar. Pyth. E. 8. κλυτᾶς αἰῶνος ἄκραν βαθμίδων ἄπο.“

15. Phavorinus h. v. p. 89,4. Philemone multo concisior: in cuius verbis πᾶς γὰρ ἐνεστὼς ἐν πρώτῳ προσώπῳ λαβὼν συνήθειαν corrige certe σύνθεσιν, adstipulante Etymologo M. p. 46,28.

εἰς ὃ μικρὸν τρέπει, οἷον λείπω, λειποτάκτης· καὶ ὁ μέλλων μίξω, μιξοπολίτης.

16. ἈΚΕΣΣΑΜΕΝΌΣ· ὡς κύριον ὀξύνεται, πρὸς διαστολὴν τῆς μετοχῆς, ὥσπερ καὶ τὸ Σωζομενὸς, καὶ Τισαμενός· ὧν ὁ μὲν, Ἱστορικός· ὁ δὲ, υἱὸς Ὀρέστου, τοῦ Ἀτρείδου. τοιούτου δὲ τόνου καὶ Ἀλεξαμενὸς Τήϊος, ἀνὴρ εὑρετὴς τοῦ μιμητικῶς γράφειν. διὰ τοιαύτην δὲ αἰτίαν καὶ αἱ Κλαζομεναὶ ἡ πόλις ὀξύνεται· καὶ ἡ δεξαμενὴ, καὶ ἡ εἰαμενή.

17. ἈΚΡΙΣΙΏΝΗ· ἡ τοῦ Ἀκρισίου θυγάτηρ.

λειποτάκτης] Phav. vitiose λειποτακτίτης. Mox ex Etym. M. p. 46,29. iisdem fere verbis utente emendavimus lectionem e codice editam μιξόπολις, quae vox nihili est, licet etiam ap. Phav. legatur: contra μιξοπολίτης Lexicis accedat.

16. Eustathius ad Iliad. φ. p. 1228,19. Phav. h. v. p. 89,36. Plura Lobeckius ad Phrynich. p. 322.

Τισαμενός] E Cod. editum Τισσαμενός.

Ἀλεξαμενὸς] R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 127. „Recte igitur legitur Ἀλεξαμενῷ in Athenaeo XI. p. 505. C. minus recte Tyrwhitti typographus ad Arist. Poet. p. 116. Ἀλεξαμένου."

καὶ αἱ Κλαζομεναὶ] Articulum e syllaba praecedenti ortum crediderim.

καὶ ἡ δεξαμενὴ, καὶ ἡ εἰαμενὴ] Vide Lobeck. l. c. et Arcadium de accent. p. 111. τὸ δὲ Κλαζομεναὶ πόλις ὀξύνεται, καὶ τὸ δεξαμενὴ, εἰαμενὴ ὁ κάθυγρος τόπος, τοπικὴν ἔννοιαν ἔχοντα: quae attulimus ne quis Δεξαμενὰς, partem Ambraciae Stephano Byz. memoratam hic significari suspicaretur. Haberes etiam Δεξαμενὸν tragoediae titulum Jophontis, in Eudociae Violar. p. 248., loco leviter corrupto.

17. Phav. h. v. p. 99,26.

ἀπὸ γὰρ τῶν εἰς ος καθαρῶν κυρίων ὀνομάτων γίνεται θηλυκὰ πατρωνυμικὰ διὰ τοῦ ωνη, οἷον ἐκ τοῦ Ἀκρίσιος, Ἀκρισιώνη, ἡ τοῦ Ἀκρισίου· ἀπὸ δὲ τῶν μὴ καθαρῶν, διὰ τοῦ ινη, οἷον Ἄδραστος, Ἀδραστίνη, ἡ τοῦ Ἀδράστου.

18. ἈΚΡΟΠΌΛΟΣ· ὑψηλὸς, παροξύνεται. τὰ γὰρ παρὰ τὸ πολῶ, εἰ μὲν προθέσει σύγκεινται προηγουμένῃ, προπαροξύνονται, οἷον ἀμφίπολος, πρόπολος· εἰ δὲ ὀνόμασι, παροξύνονται· ὡς δῆλον ἐκ τοῦ ὀνειροπόλος, μαντιπόλος. ὁμοίως δὲ καὶ μυστοπόλος, καὶ αἰολοπόλος, καὶ θαλαμηπόλος, καὶ δικασπόλος, καὶ θεμιστοπόλος.

19. ἌΚΥΘΟΣ· ἡ ἄγονος. κύθος γὰρ τὸ σπέρμα· καὶ κύθεται, ἤγουν κρύπτεται, ἡ γονὴ

18. Phav. p. 101,8. Eustathium ad Iliad. E. p. 578. citat R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 127.

παροξύνεται] Phav. vitiose προπαροξύνεται: idemque mox αἰπόλος pro αἰολοπόλος.

μυστοπόλος] Hinc praesidii nonnihil lucratur coniectura Hermanni in Orph. Hymn. 17,18 vulgatae μουσοπόλος substituentis μυστοπόλος, quod Lennepii *Anim. ad Coluth.* p. 130. commento μυστυπόλος posthabendum esse minus caute praecepit Lobeckius ad Phrynich. p. 666. Hac igitur vocis forma lexica augeri possunt.

19. Phav. h. v. p. 103,27.

καὶ κύθεται, ἤγουν κρύπτεται] Phav. κύθεται γὰρ, ἤγουν κρύπτεται. Hinc corrige Etym. M. p. 55,18., ubi editur κύθεται

καὶ τὸ κύημα ἐν τῇ μήτρᾳ· διὰ τοῦ ῡ ψιλοῦ γράφεται. τὰ γὰρ διὰ τοῦ ῡθος ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ῡ γράφεται, οἷον μαμμάκυθος, ὁ μωρός.

20. ἈΚΩΚΗ΄· ἡ τῆς αἰχμῆς ὀξύτης· τὸ ω̄ μέγα. τὰ γὰρ ἔχοντα ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ σύμφωνον διὰ τοῦ ω̄ μεγάλου

γὰρ καὶ κρύπτεται. Non semel enim in MS. καὶ et ἤγουν confusa vidimus: de καὶ et ἢ apud omnes constat.

αι α

οἷον μαμμάκυθος, ὁ μωρός] Codex οἷον μαμάκυθος, μαμαικυθος, ὁ μωρός; Editor οἷον μαμάκυθος, ἢ μαμάκυτος, ὁ μωρός: uterque falsi. Duce Phavorino prius μαμάκυθος prorsus delevi: posses tamen ex Etymol. M. p. 55,21. verbis Μίκυθος, ὄνομα κύριον· μαμμάκυθος, ὁ μωρὸς suspicari, similiter a Philemone scriptum fuisse, si copula non deesset. Zonaras T. 1. p. 107. τὰ δὲ διὰ τοῦ ῡθος ὑπὲρ δύο συλλαβὰς, διὰ τοῦ ῡ γράφονται, οἷον ἄκυθος· Μίκυθος, κύριον· παμμάκυθος, ὁ μωρός, facile corrigendus. R. W. in Mus. Crit. Cantabr. vol. 1. p. 127. „Phavorinus omittit voces ἢ μαμάκυτος. Glossam ex Methodio desumptam esse patet ex Etymol. M. p. 55, 12. Zonaras tamen eandem ex Theognoto profert. Nempe Theognotus Methodium, Theognotum Philemon compilavit. Hic tamen Callimachi testimonium ab illis prolatum, omittit. Voce μαμάκυθος, seu potius μαμμάκυθος, cui synonyma fuere μαμμόθρεπτος et τηθαλλαδοῦς, quod a nobis Anglis elegantiore dialecto diceretur *a moll-coddle*, utitur Aristoph. Ran. 1015. ubi vid. Schol. et interpp. ad Hesych. in voce. Hemsterhus. ad Polluc. III. 20. Pierson. ad Moerin p. 258."

20. Phav. h. v. p. 103,47. Confert R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 127. Etymol. M. p. 596,51. et Zonaram T. 1. p. 81. Quaedam etiam Orio Theb. Etym. p. 22,10.

γράφεται, οἷον ἔδω, ἐδὴ, καὶ ἐδωδή· ἄγω, ἀγὴ καὶ ἀγωγή. οὕτως οὖν καὶ ἀκωκή.

21. ἈΛΗΘΙΝΌΣ· ἡ παραλήγουσα διὰ τοῦ ῑ γράφεται, οἷον τάχα, ταχινός· πύκα, πυκινός· ἄληθες, ἀληθινός· χθὲς, χθεσινός. ἀλλ' ἀπὸ τοῦ ἄλγος, ἀλγεινὸς, καὶ ἀλεγεινός· ἔλεος, ἐλεεινός· πλεονασμῷ τοῦ ε̄· καὶ γράφεται διὰ διφθόγγου, ὡς παρώνυμα.

22. ἈΛΕΙ'ΠΤΗΣ διφθογγίζεται. τὰ γὰρ ἀπὸ τοῦ ἀλείφω γινόμενα, εἰ μὲν διὰ τοῦ π͞τ͞ ἐκφέ-

21. Etymol. M. p, 58,53.

22. R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 127. „Haec pleniora servavit Etymol. M. p. 60. ult. ex Grammatico quodam vetustiore. Cum nostro fere consentiunt Zonaras et Phavorinus [v. ἀλείφω p. 109,40.] qui tamen pro ἄλειφαρ cum Etymologo exhibent ἄλειφα, quae forma occurrit in Aesch. Agam. 323. Callim. Fragm. 12. (vid. Ruhnken. Ep. Crit. II. p. 178.) Hipponax ap. Polluc. X 87. Κἄλειφα ῥόδινον ἡδὺ, καὶ λέκος πύρου. Mox iidem [adde Etymol. M. p. 464,1.] recte φιλαλειπτῶ pro φιλαλείπτης, nisi forte in proverbio legendum sit Οὐκ ἔστι πίστις ἀνδρὶ φιλαλείπτῃ τινί. Ceterum memoratu dignum est quod in hoc capite tradit Etymologus, δεῖ γινώσκειν ὅτι γέγραπται Διφίλῳ τῷ κωμικῷ δρᾶμα, (ὃ) ἐπιγέγραπται Ἀλείπτρια. Vide annon legendum sit Ἀντιφάνει. Athen. III. p. 123. B. Ἀντιφάνης ἐν Ἀλειπτρίᾳ (φέρεται καὶ τὸ δρᾶμα ὡς Ἀλέξιδος). Quin Pollux X. 17. ait, Ἄμφιδος δὲ καὶ δρᾶμά ἐστιν Ἀλείπτρια. Equidem Antiphanis hanc fabulam fuisse opinor, cuius etiam Ἀκέστρια citatur."

ἐκφέρονται, φυλάττουσι τὴν ει δίφθογγον, οἷον ἀλείπτης· καὶ ἄλειπτον, φάρμακον· καὶ ἀνάλειπτος, ὁ μὴ ἀλειφθείς. εἰ δέ διὰ τοῦ φ ἐκφέρονται, σύνθετα ὄντα, οὐ φυλάττουσι τὴν ει δίφθογγον, ἀλλὰ διὰ τοῦ ι γράφεται, οἷον ὑπηλιφὴς, ἀνυπηλιφής· σημαίνει δὲ τὴν ναῦν, τὴν μὴ ἀλειφθεῖσαν πίσσῃ. πρόσκειται σύνθετα διὰ τὸ ἄλειφαρ, ὃ ση-

οἷον ἀλείπτης] E Cod. Editor vocem ἀλείφω interposuit, perperam huc traductam. Mox pro ἀνάλειπτος Etym. l. c. ἀνήλειπτος.

οἷον ὑπηλιφὴς, ἀνυπηλιφής] E Codice editum οἷον νηλιφὴς, ἀνηλιφὴς, quae mutavi secundum Lexici SGM. inediti locum mox laudandum et Etym. M. p. 61,5. seq. ἀλλὰ διὰ τοῦ ι γράφεται, οἷον ὑπηλιφὴς, ἀνυπηλιφής· σημαίνει δὲ τὴν ναῦν τὴν μὴ ἀλειφθεῖσαν πισσῇ: quo minus autem hic de mendo cogitetur, facit alius Etymologi locus p. 22,20. Ἄζωστος ναῦς ἐστὶν ἡ ἀνυπηλιφὴς, ubi perperam edebatur ἀνυπήλιφος, quo vitio etiam Phrynichus in Bekkeri *Anecd. Graec.* T. 1. p. 21. Ἀνυπήλιφος νοῦς: ἡ μὴ ὑπαληλιμμένη etc. laborabat, licet Bekkeri errorem Barkerus *Epistol. crit. ad Boissonadum* p. 217. propagarit. Igitur etiam Phavorinus fallitur quum l. c. scribit, οἷον ἀνηλιφὴς ναῦς, ἡ μὴ ἀλειφεῖσα πίσση, facile corrigendus.

ἄλειφαρ] Cf. Suidas v. ἀλείφατι T. 1. p. 108., cuius verba ita restituenda sunt: Ὅτι τὰ παρὰ τὸ ἀλείφω, εἰ μὲν διὰ τοῦ πτ ἐκφέρεται, [additur vulgo καὶ] διὰ διφθόγγου γράφεται, οἷον ἀλείπτης· εἰ δὲ διὰ τοῦ φ, εἰ μὲν εἰσι [vulgo ὦσι] σύνθετα, διὰ τοῦ ι· πισσαλιφὴς, ὑπηλιφής [vulgo ἀνηλιφής]· εἰ δὲ ἁπλᾶ, διὰ τοῦ ει διφθόγγου, οἷον ἄλειφαρ. Correctionum fidem auget Lexicon ined. SGM. cod. Paris. Reg. 177. fol. 5. *verso*, Suidae praeceptum iisdem fere verbis reddens, quae quum e Suida invicem auxilium nanciscantur, non possum

μαίνει τὸ ἄλειμμα. ἐκ δὲ τοῦ ἀλείπτης γίνεται Φιλαλειπτῶ, ὡς τό· οὐκ ἔστι πίστις ἀνδρὶ Φιλαλειπτοῦντι.

23. ἈΛΕΞΊΚΑΚΟΣ· ὁ ἀποτρόπαιος, ἤτοι ὁ τὰ δεινὰ ἀπείργων. τὰ ἀπὸ ἐνεστώτων, ἢ μελλόντων γινόμενα ὀνόματα τρέπει τὸ ω̄ εἰς ῑ, οἷον ἄρχω, ἀρχιστράτηγος· αὔξω, αὐξίφωνος· λύσω, λυσίκακος· ἀλεξίκακος.

non hic describere: Ἄλειφαρ, ἀλείφατος: τὸ ἄλειμμα· τὰ παρὰ τὸ ἀλείφω, εἰ μὲν διὰ τοῦ πτ ἐκφέρονται, διφθογγίζονται, οἷον ἀλείπτης· εἰ δὲ διὰ τοῦ φ, εἰ μὲν εἶσι σύνθετα, διὰ τοῦ ῑ, οἷον πισσαλιφής, ὑπηλιφής· εἰ δὲ ἁπλᾶ διὰ ει διφθόγγου, οἷον ἄλειφαρ: in codice enim legebatur πετραλιφής. Ceterum utrumque Lexicographum ab initio de mendo laborare, mihi persuasit Etymologus M. p. 60,50., unde patet apud utrumque non de voce ἄλειφαρ, sed de ἄλειφα sermonem esse: quae suspicio etiam in Philemonem cadit, collato Etym. M. p. 61,8. Adde Albertum ad Hesych. v. ἀλείφατι T. 1. p. 223.

φιλαλειπτῶ] Cod. φιλαλείπτης. Quae sequuntur verba οὐκ ἔστι etc. quum ex locupletiori Etymologi l. c. memoria pateat e scriptore pedestris sermonis citari, non erat quod R. W. coniectura in senarium cogeret. Locum Etymologus ita refert οἷον, Ὡς οὐκ ἔστι πίστις ἐν ἀνδρὶ φιλαλειπτοῦντι, καὶ περὶ τὰς παλαίστρας ἔχοντι, καὶ πολυπραγμονοῦντι ὅ, τι ἕκαστον τῶν μειρακίων.

23. Etym. p. 59,37. Phav. v. ἀλεξίκακον p. 111,11. Ante τρέπει ὁ Phav. inserendum Bastius *Epist. Crit.* p. 36. iubet ἐν συνθέσει. Mox pro αὐξίφωνος Etym. et Phav. αὐξίφωτος, de quo nil equidem deciderim: neutram vocem norunt Lexica. Denique loco v. λυσίκακος Etymologus λυσίμαχος, Phavorinus λυσίκομος, quae vox legitur in Philostrati Epist. 26.

24. ἈΛΛΗΛΩΝ οὔτε ἑνικὰ ἔχει, οὔτε εὐθεῖαν ἐν τοῖς πληθυντικοῖς, οὔτε ἐν τοῖς δυϊκοῖς· ἀλλ' οὔτε ἄρθρον ἐπιδέχεται, διὰ τὸ λέγεσθαι ἐπὶ προεγνωσμένων προσώπων. καὶ ἔχει ὁμοίως τὸ ἀμφότεροι. καὶ λέγομεν· ἀλλήλοις ὑπηρετοῦμεν, πρὸς ἀλλήλους ἀγαπῶμεν, εἰς ἀλλήλους ἐπολέμιζον καὶ ἀλλήλους ἐπολέμιζον· καὶ ἀλλήλοις βοηθοῦμεν, ἀλλήλοις βοηθεῖτε, ἀλλήλοις βοηθοῦσιν· ἀλλήλους ἀγαπῶμεν, ἀλλήλους ἀγαπᾶτε, ἀλλήλους ἀγαπῶσιν· εἰς ἀλλήλους πολεμίζομεν, εἰς ἀλλήλους πολεμίζετε, εἰς ἀλλήλους πολεμίζουσι. καὶ ἀλλήλων ἀντὶ τοῦ ἑαυτῶν, ὡς Εὐριπίδης καὶ Θουκυδίδης· καίπου τινὲς ἀλλήλων ἐγεύσαντο, ἀντὶ

24. Phav. h. v. p. 122,53, quo duce codicis lectionem τὰ ἀμφότεροι mutavi: ediderant τῷ ἀμφότεροι. Ex eodem Phav. suscepimus flagitante sensu quod statim sequitur καὶ λέγομεν pro vulg. ὡς λέγομεν, quas voculas confundi, post Bredovium *Epist. Paris.* p. 52. 71. et Schaeferum ad Schol. Apollon. Rhod. T. 2. p. 582. nemo mirabitur.

ἀλλήλων, ἀντὶ τοῦ ἑαυτῶν] R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 198. „Haec Hesychio, Suida, Prisciano testibus, Atticorum formula est. Voce ἑαυτοὶ pro ἄλληλοι usi sunt Thucydides IV. 25. et Sophocles Antig. 55 et 145. Errorem igitur apud Eustathium animadvertas; Odyss. E. 481. Μένανδρος, φασὶν, ἁμαρτάνει, Οὐκ ἠρκέσαμεν ἑαυτοῖς, ἐχρῆν γὰρ, Ἀλλήλοις, εἰπεῖν.“ Adde Blomfieldii Glossar. in Aeschyl. Sept. adv. Theb. 732. p. 170. ed. sec.

Εὐριπίδης καὶ Θουκυδίδης] Thucydides 3,81. διέφθειραν αὑτοὺς ἐν τῷ ἱερῷ ἀλλήλους, quo cum loco confer Abreschium ad

τοῦ ἑαυτῶν· καὶ ἀλλήλους Τριπτόλεμος καὶ Σαρπηδὼν ἔτρωσαν· Πολυνείκης καὶ Ἐτεοκλῆς ἀλλήλους ἐφόνευσαν. καὶ ἐπὶ θηλυκῶν λέγομεν, ἀλλήλων, ἀλλήλαις, ἀλλήλας· καὶ ἐπὶ οὐδετέρων ὁμοίως, ἀλλήλων, ἀλλήλοις, ἄλληλα. αὗται δὲ αἱ τρεῖς πλαγίαι οὐκ ἔχουσιν εὐθεῖαν, οὔτε δυϊκὴν, οὔτε πληθυντικὴν, οὔτε ἑνικήν· οὔτε κλητικὰς ἔχουσιν.

25. ἌΛΛΟ μετὰ τοῦ ἢ συνδέσμου συντάσσεται, οἷον ἄλλο τοῦτο ἢ ἐκεῖνο. καὶ ἄλλο ἐπὶ φύσεως λέγεται, οἷον ἄλλο ἄνθρωπος, καὶ ἄλλο ἵππος.

26. ἌΛΛΟΣ λέγεται ἐπὶ πολλῶν· ἕτερος ἐπὶ δυοῖν. τὸ ἄλλος κλητικὴν οὐκ ἔχει· ἡ γὰρ φύσις τῆς κλήσεως μάχεται τῷ σημαινομένῳ τοῦ ὀνόματος. ἡ γὰρ κλητικὴ ὡς πρὸς παρόν ἐστι πρόσωπον καὶ γνωριζόμενον· τὸ δὲ ἄλλος ἀγνοούμενόν ἐστι καὶ ἀπόν. ὁμοίως καὶ αἱ κλητικαὶ τῶν πυσμάτων, ἤτοι τοῦ ποῖος, τίς, πόσος, ἐκλελοίπασιν· ἐπειδὴ τὰ πύσματα περὶ ἀπόντων καὶ ἀγνοουμένων γίνονται προσώπων· αἱ δὲ κλητικαὶ παρόντων εἰσὶ καὶ ἐγνωσμένων. ἄλλος προσώπου σημαντικόν ἐστι,

Xenoph. Ephes. p. 164. cum Locellae nota: Euripidis locus mihi nondum innotuit.

25. Phav. h. v. p. 123,35.

26. Phav. h. v. p. 124,43. Similia Etym. M. p. 66,54.

ὡς πρὸς] Etym. et Phav. ὡς omittunt.

ἤγουν ὑποστάσεως, οἷον ἄλλος Ἀντιφάνης, καὶ ἄλλος Ξενοφάνης. σημαίνει δὲ τὸ ἄλλο τὴν κατὰ φύσιν διαφοράν, οἷον ἄλλο ἄνθρωπος, καὶ ἄλλο ἵππος· τὸ δ᾽ ἀλλοῖον ἐπὶ τῶν κατὰ φύσιν διαφορῶν τίθεται. ζητητέον δὲ ἢ ὄνομά ἐστι τὸ ἄλλος, ἢ ἀντωνυμία. εἰσί τινες λόγοι οἱ ἕλκοντες αὐτὸ εἶναι ἀντωνυμίαν, καὶ μὴ ὄνομα· ἐπεὶ ὃν τρόπον τὸ ἐκεῖνος καὶ οὗτος ποιοῦσι τὰ οὐδέτερα αὐτῶν ἀποβολῇ τοῦ σ̄ ἐκεῖνο καὶ τοῦτο, τὸν αὐτὸν τρόπον ἀποβολῇ τȣ̃ σ̄ ποιεῖ τὸ οὐδέτερον· σεσημείωται δὲ τὸ ἄλλο, καὶ τοῦτο, καὶ τὰ ὅμοια. ἕτερος δὲ λόγος τοῦ μὴ εἶναι ἀντωνυμίαν, ἀλλ᾽ ὄνομα. ἡ γὰρ ἀντωνυμία ἀντὶ ὀνόματος λαμβάνεται, τὸ δὲ ἄλλος ἀόριστον· καὶ διότι τὸ οὗτος, καὶ ἐκεῖνος, καὶ τὰ λοιπά, ἢ δεῖξιν σημαίνει, ἢ ἀναφοράν. τὸ δὲ ἄλλος

οἷον ἄλλος Ἀντιφάνης καὶ ἄλλος Ξενοφάνης] Ex unge leonem hic cognoscas: Phavorinus enim οἷον ἄλλος Πέτρος καὶ ἄλλος Παῦλος.

τὸ δ᾽ ἀλλοῖον] Δὲ a Cod. abest. Quae mox sequuntur verba ἐκεῖνο καὶ τȣ̃το — ποιεῖ τὸ οὐδέτερον e Cod. a nobis, flagitante loci sensu reposita, documento esse possunt, qua fide Anglus editor munere suo functus sit; eius enim oculi a prioribus verbis ἀποβολῇ τȣ̃ σ̄ quum ad posteriora statim solemni scribarum errore delaberentur, factum ut quae interiacerent, omitterentur omnia: edidit enim τὰ οὐδέτερα αὐτῶν, ἀποβολῇ τȣ̃ σ̄ ποιεῖ τὸ οὐδέτερον, quorum loco quae restituimus, firmantur auctoritate et Etym. et Phavorini.

ἢ ἀναφοράν] Recte ita editum, credo ex Etymol. M. p. 67,32., contra Cod., qui διαφορὰν praebet, ex superioribus huc translatum.

οὔτε δεῖξιν σημαίνει, οὔτε ἀναφοράν. ἔστιν ὄνομα· παράγεται δὲ ἀπὸ τοῦ ἄλαλος κατὰ συγκοπὴν ἄλλος· ἀναιρετικὸν γάρ ἐστι τῶν ὡρισμένων προσώπων, οἷον ἄλλος, οὐκ ἐγώ· ἄλλος, οὐ σύ.

27. ἌΛΞ· ἡ δύναμις, ἐκ τῆς ἀλκῆς. τὰ γὰρ ἀπὸ τῶν εἰς κη θηλυκῶν, κατὰ ἀφαίρεσιν τοῦ η, εἰς ξ καταλήγει, ὡς Φοινίκη, Φοῖνιξ· φρίκη, φρίξ· κρόκη, κρόξ· πνυκὴ, πνύξ· καὶ ἀλκὴ, ἄλξ.

28. ἌΛΦΑ· τὸ στοιχεῖον, ἐκ τοῦ ἀλφῶ. ὅπερ μετὰ ἄρθρων κλινόμενον τὰς πλαγίας διΐστησι.

29. ἈΛΦΕΙΟ'Σ διφθογγίζεται. τὰ γὰρ διὰ τοῦ ειος τρισύλλαβα ὀνόματα ἐπὶ ποταμῶν ὀξύτονα ὄντα, δίφθογγον ἔχει, οἷον Πηνειός· Σπερχειός. κεῖται ὀξύτονα, διὰ τὸ Μινίος, ὅπερ διὰ τοῦ ι γράφεται· τρισύλλαβα δὲ, διὰ τὸ Σαγγάριος.

30. ἉΜΑΡΤΙ'ΝΟΥΣ· ὁ κατὰ νοῦν ἁμαρτῶν,

27. Phav. h. v. p. 126,19. Etym. M. p. 69,35.

28. Similia, at multo concisiora Phav. h. v. p. 130,5.

29. Phav. h. v. p. 130,13. Edidit Bastius *Epist. Crit.* p. 153., qui vulgata, licet a Phav. firmata, Μηνίος quomodo mutanda sit bene docuit.

Σαγγάριος] Lexicon ined. SGM. cod. Reg. Paris. 347. fol. 139. *recto:* Σαγγάριος: ποταμὸς Φρυγίας καὶ Λυδίας. Vide interpretes Graecos Iliad. γ, 187., et Apollon. Rhod. 1,722. ubi scriptorem *Myrleanum*, quem Scholiasta excitat, obiter moneo esse Asclepiadem Myrleanum, cuius fragmentum Werferi effugit diligentiam in Thierschii *Act. Phil. Monac.* vol. 2. fasc. 4.

30. Phav. h. v. p. 136,25. Edidit Bastius *Epist. Crit.*

τὸ ῑ ἔχει ἐν τῇ παραληγούσῃ. τὰ γὰρ ἀπὸ περισπωμένου ῥήματος γινόμενα, ἢ διὰ τοῦ ο̄ μικροῦ γίνονται, οἷον μισῶ, μισογύνης· φιλῶ φιλόθεος· ἢ διὰ τοῦ ῑ, οἷον ἁμαρτῶ, ἁμαρτίνους· οἴδω, Οἰδίπους.

31. ἈΜΦΟΤΕΡΟΙ πληθυντικῶς λέγεται, οἷον ἀμφότεροι γράφουσιν, οὐ γράφετον. τὸ δὲ ἄμφω καὶ δυϊκῶς, ὡς τῇ σημασίᾳ, οὕτω καὶ τῇ φωνῇ· δυϊκοῖς τε καὶ πληθυντικοῖς συντάσσεται ῥήμασι· τὸ μὲν, διὰ τὴν φυσικὴν σημασίαν· τὸ δὲ, διὰ τὸ ἐμπεριέχεσθαι τῷ ἀριθμῷ πληθυντικῷ τὸ ἓν κατὰ δύο. ἄμφω οὖν δυνάμεθα λέγειν τρέχετον, καὶ ἄμφω τρέχουσιν.

32. ἌΜΦΩ· ἀμφότεροι, τὸ ω̄ μέγα. ἔστι δὲ θεματικὸν ὡς τὸ δύο, διότι οὐ γίνεται ἀπὸ ἑνικῶν· τὸ γὰρ σημαινόμενον κωλύει. διαφέρει δὲ τὸ ἄμφω τοῦ δύο· ὅτι τὸ δύο γράφεται, καὶ διὰ τοῦ ο̄ μικροῦ, καὶ διὰ τοῦ ω̄ μεγάλου Ἀττικῶς, τὸ δὲ ἄμφω ἀεὶ διὰ τοῦ ω̄ μεγάλου· καὶ ὅτι τὸ μὲν δύο μετὰ ἄρθρου συντάσσεται, οἷον οἱ δύο, τὸ δὲ ἄμφω ἄνευ τοῦ ἄρθρου, καὶ σημαίνει τὸ ἀμφοτέρους, οἷον

p. 36., postea in *Appendice Epist. Crit.* p. 7. pro ληγύσῃ legendum παραληγύσῃ praecipiens, cui obtemperandum esse putavi: vide §. 193.

31. Phav. h. v. p. 158,33., τὸ δὲ ἄμφω καὶ δύω δυϊκῶς exhibens.

32. Phav. h. v. p. 159,5. Versus ἄμφω ὁμῶς est Iliad. α, 196.; sequens, γ, 211.

ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε.
Φαίνεται δὲ σολοικοφανὲς τὸ παρ' Ὁμήρῳ,
ἄμφω δ' ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς.
ὤφειλεν δὲ εὐσυντάκτως εἰπεῖν, ἀμφοῖν δ' ἑζομένοιν. ὁ δὲ καινότερον ἔφρασεν, διὰ τὸ ἄρξασθαι, ὡς ἐν σχεδιασμῷ, ἀπὸ εὐθείας δυϊκῆς· εἶτα διὰ τὸ μὴ ἔχειν ἓν κοινὸν ῥῆμα περὶ Μενελάου καὶ Ὀδυσσέως εἰπεῖν· οὐ γὰρ ἦσαν ὁμοίως ἄμφω γεραροί. τοιοῦτόν τι καὶ τὸ, σύν τε δύ' ἐρχομένω· καὶ ἄλλα πολλά.

33. ἈΝΑ'ΠΛΕΩΣ· ὁ πεπληρωμένος, ἀπὸ τοῦ πλέως, μετὰ τοῦ στερητικοῦ ᾱ, ἄπλεως, ὁ ἐνδεής· καὶ μετὰ προςθήκης ἑτέρας στερήσεως, καὶ πλεονασμῷ τοῦ ν̄, ἀνάπλεως· ἥτις, ἐν τοῖς τοιούτοις προςτιθεμένη καὶ ἀναδιπλουμένη, κατάφασιν, ἀλλ' οὐ στέρησιν δηλοῖ.

34. ἌΝΑΣΣΑ· ἡ βασίλισσα, οὐκ ἀπὸ τοῦ ἄναξ. τὰ γὰρ ἀπὸ τῶν εἰς ξ̄ εἰς ᾱ παραληγόμενα ἐθνικά ἐστιν, οἷον Φοῖνιξ, Φοίνισσα· Κίλιξ, Κίλισσα. τοῦτο δὲ, μὴ ὂν ἐθνικὸν, ὁμοίως οὐ λέ-

εἶτα διὰ τὸ μὴ] Phav. διὰ τὸ perperam omittit. Mox verba σύν τε δύ' ἐρχομένω sunt Iliad. κ, 224.

33. Phav. h. v. p. 174,44. Etym. M. p. 98,33.

34. Phav. h. v. p. 177,25. Etym. M. p. 100,41., qui παραγόμενα pro Philemonis παραληγόμενα, Orio Etym. p. 26,1. παράγωγα.

γεται. ἔστιν οὖν ἀπὸ τοῦ ἀνάσσω, ὡς ἑλίσσω, ἕλισσα, καὶ ἀμφιέλισσα· καὶ νύσσω, νύσσα.

35. ΆΝΑΦΟΡΙΚΑ' ΌΝΟΜΑΤΑ· τὰ ἀναφορὰν σημαίνοντά τινος. λέγονται δὲ ὡς τὰ πευστικὰ καὶ ἀόριστα ἐπί τε πόσου καὶ ποίου λέγονται. τοῖς δὲ κυρίοις καὶ προσηγορικοῖς, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως συντάσσονται, ὁμοιώσεως ἢ δείξεως ἕνεκα. ἔστι δ' ὅτε θαυμαστικῶς. ἀναφέρει δὲ τὴν διάνοιαν τῶν προεγνωσμένων. συμβαίνει γὰρ τὸ τοιοῦτον ὅταν τις λέγῃ, τοιοῦτος ἦν Ἀχιλλεὺς οἷος Αἴας. ἔξεστι δὲ ταῦτα καὶ ἀνταποδοτικὰ καὶ δεικτικὰ ὀνομάζειν· ὅτι πολλάκις χρώμενοι τοῖς τοιούτοις δεικνύομεν, ὁρῶντές τι ὅμοιον· καὶ ὅτι πρὸς ἄλληλα ἀνταποδίδοται ἡγούμενα καὶ ἑπόμενα. κυρίως δὲ ἀνταποδοτικὰ τὰ ἔχοντα τὸ τ ἀρκτικὸν, οἷον τοιοῦτος, τηλικοῦτος, τόσος· ἃ δὴ καὶ τῷ δε ἐπιτείνεται, οἷον τοιόσδε· καὶ ἄρθροις συντάσσεται. τάγε μὲν ἀπὸ φωνήεντος ἀρχόμενα οὐ συντάσσονται ἄρθροις· οὐ γὰρ ὁ οἷος λέγομεν, οὐδὲ ὁ ὅσος. ἡγεῖται μὲν ἀλλήλων ἐν τῇ συντάξει, καὶ ἐπιφέρεται ὡς εἴρηται, οἷον

αἴθ' ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην·

καὶ τὸ,

35. Phav. h. v. p. 181,56., pro ἔξεστι mox ἐξέστω praebens.

τάγε μὲν] Ita e Cod. pro edito τάγε μήν.

αἴθ' ὅσον etc.] est Iliad. π, 722.

ἀλλ' οὔτοι τόσοι ἦσαν, ὅσοι ἑλίκωπες Ἀχαιοί. καὶ χωρὶς δὲ ἀναφορικοῦ λαμβάνεται τὰ ἀνταποδοτικὰ ἀπολύτως, ἤτοι ἀποστηματικῶς καὶ θαυμαστικῶς· τοίην κεφαλὴν ποθέω. πολλῷ δὲ μᾶλλον τὰ ἀναφορικὰ, δίχα τῶν ἀνταποδοτικῶν. συμφορῶν πεπείραται, οἵων οὐδεὶς, φαμέν. καὶ σοφοῖς ἐνέτυχεν, οἵοις οὐδείς. καὶ πολέμους διήνυσεν, ὅσους οὐδείς. καλοῦνται δὲ κυρίως ἀναφορικὰ, ἐπειδὴ τὸν νοῦν τοῦ ἀκροατοῦ ἀναφέρουσιν ἐπὶ τὰ εἰς καιρὸν ἀπὸ τοῦ λαλοῦντος ὁριζόμενα· καθ' οἷον οὖν ἐθέλει χρόνον, ἐνεστῶτα, ἢ παρεληλυθότα, ἢ μέλλοντα, ἀποβάλλοντα τὸ κατ' ἀρχῆς τ, τὰ ἑαυτῶν ἀνταποδοτικὰ παρασκευάζουσιν, ὥσπερ καὶ τὰ ἐν τοῖς ὀνόμασιν ἀναφορικά. ὃν γὰρ τρόπον ἐκ τοῦ τοῖος, τόσος, τηλικοῦτος γίνεται οἷος, ὅσος, ἡλίκος· τὸν αὐτὸν τρόπον ἐκ τοῦ τῆμος, τότε, τέως, τηνίκα, τόφρα γίνεται ἦμος, ὅτε, ἕως, ἡνίκα, ὄφρα, ὅπερ συνεμπίπτει τῷ αἰτιολογικῷ συνδέσμῳ, λέγω δὴ τῷ ὁμωνύμῳ αὐτοῦ ὄφρα.

36. ἈΠΟΡΗΜΑΤΙΚᾺ ὈΝΌΜΑΤΑ λέγονται τὰ ἀπορίαν ἔχοντα, ἅπερ μετὰ ὑποτακτικοῦ

ἀλλ' οὔτοι τόσοι] est Iliad. γ, 190. ubi hodie ἀλλ' οὐδ' οἱ τόσοι vulgatur.

ἀποστηματικῶς καὶ θαυμαστικῶς] Prior vox Lexicis accedat. Phav. ἢ pro καὶ, solemni confusione. Dein quod pro vulg. συνεμπίπτοι dedimus, et Codex et Phav. suadebant.

36. Confusa sunt Phavorini h. v. p. 253,7.

λέγονται, οἷον ὦ Ζεῦ, τί χρήσωμαι· τίς γένωμαι· ποῖ τράπωμαι.

37. ᾽ΑΡΓΥΡΙΔΙΟΝ· ὑποκοριστικῶς, διὰ τοῦ ι γράφεται. εἰσὶ γὰρ παραγωγαὶ διὰ τοῦ διον καὶ ιδιον. καὶ εἰ μὲν ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ ιδιον γίνεται ἡ παραγωγὴ, καὶ φυλάττονται αἱ τρεῖς συλλαβαὶ αἱ τελευταῖαι συνεσταλμέναι, οἷον γνώμη, γνώμης, γνωμίδιον· ψυχὴ, ψυχῆς, ψυχίδιον· ξίφος, ξίφους, ξιφίδιον. εἰ δὲ ἀπὸ φωνήεντος ἄρχεται, διὰ τοῦ διον γίνεται ἡ παραγωγὴ, καὶ ἐκτείνεται ἡ τρίτη ἀπὸ τέλους συλλαβὴ, οἷον γραφεῖον, γραφείδιον· ἀγγεῖον, ἀγγείδιον. καὶ εἰ μὲν εὑρέθη τὸ ε, ἢ τὸ ο, τὸ ι προ-

37. Phav. h. v. p. 270,1. Etym. M. p. 147,13.

διὰ τοῦ διον] Cod. ιων, Etym. ιον; eodem vitio Cod. etiam mox ιον, quo loco Etymologi scriba non peccavit.

αἱ τρεῖς συλλαβαὶ] Cod., Edit. et Phav. τρίται: tamen τρεῖς ex Etym. suscepimus. In codice enim numerum suspicor more solito littera γ/ expressum fuisse, unde librarius τρίται fecit. Quae confusio innumeris fere veterum scriptis adspersit maculas, quarum partem eluit Bastius *Commentat. Palaeogr.* p. 852. Itaque in Theodosii fragmento Bekkerus ad Apollon. de syntax. p. 352. pro τρίτος legendum esse τρεῖς recte vidit.

ἀπὸ τέλους] Unde editum ἀπὸ τελευτῆς provenerit, non adsequor, quum praesertim Codex ἀποτέλυς manifeste ferat, unde nemo non ἀπὸ τέλυς restituet, ut etiam in Etym. et Phav. legitur; simili modo διατέλυς una voce in MS. scribi, annotavit Bastius *Comment. Palaeogr.* p. 795. Neque memini ἀπὸ τελευτῆς Grammatica significatione me unquam legisse.

ςέρχεται, οἷον πόλεως, πολείδιον· ἕξεως, ἑξείδιον· βοὸς, βοΐδιον.

38. 'ΑΡΓΥΡΟΔΙΝΗΣ· διὰ τοῦ ι γράφεται. τὰ εἰς ινης καὶ ινη ἀποστρέφονται τὴν ει δίφθογγον, οἷον Αἰσχίνης· Λεπτίνης· τὸ δὲ Νεοπείνης ἀπὸ τοῦ πεῖνα γέγονεν.

39. 'ΑΡΙΠΡΕΠΕΣ· τὸ μεγαλοπρεπές. τὸ ἀρι ἐπιτατικόν ἐστιν. οὕτω πολλαχοῦ καὶ ἡ ἐξ καὶ ἡ περι πρόθεσις ἐπιτείνει. ἐναντίον δὲ τῷ ἐκπρεπεῖ καὶ ἀριπρεπεῖ τὸ ἀπρεπὲς, ὡς ὑπ' οὐδενὸς περιεπόμενον.

40. 'ΑΡΚΤΕΟΝ· δεῖ ἄρχεσθαι, ἢ ἄξιον ἀρχὴν λαμβάνειν τὸ πρᾶγμα. ἔστι γὰρ ὄνομα ἐπίθετον, ἀλλ' οὐκ ἐπίρρημα. τὰ γὰρ οὕτω προφερόμενα ἐπιρρήματα ἐνεργητικὴν ἔχει τὴν σημασίαν, τὰ δὲ ὀνόματα παθητικήν.

41. 'ΑΡΤΕΜΙΣΙΟΣ· ὁ μὴν, διὰ τοῦ ι γράφεται. τὰ γὰρ διὰ τοῦ ισιος ἀρσενικὰ, καὶ ισια θηλυκὰ, καὶ ισιον οὐδέτερα, ἀποστρέφονται τὴν

ἕξεως, ἑξείδιον] Cf. Etym. M. p. 347,55.

38. Phav. h. v. p. 270,25. Codex vitiose Νεοπείνης et mox ποῖνα.

39. Phav. h. v. p. 278,4.

40. Idem h. v. p. 282,8.

41. Idem h. v. p. 282,8., mox pro ὁ μὴν exhibens ὁ Μάϊος.

θηλυκὰ καὶ ισιον] e Phav. Editor, ut videtur, adiecit: nam desunt in codice.

ει δίφθογγον, οἷον ἀφροδίσιος, ἀφροδισία, ἀφροδίσιον. σεσημείωται τὸ Ἀρκείσιος, καὶ Σιμοείσιος, διότι ἀνεφάνη τὸ ε ἐν τῷ Ἀρκέσιος, καὶ Σιμόεντος. καὶ ἀπερείσιος καὶ ἀπειρέσιος. ἀλείσιον, ὄνομα πεδιάδος, ἀπὸ τοῦ ἀλῶ, ἀλέσω, τὸ πλάνω, ἀνθεμοείσιος ἀπὸ τοῦ ἀνθεμόεις. τὸ δὲ ἡμερήσιος οἱ μὲν ἄλλοι διὰ τῆς ει διφθόγγου, καὶ ἴσως ἀπὸ τοῦ ἡμερεύω ἡ παράδοσις· διὰ δὲ τοῦ η, ὡς Ἰθάκη, Ἰθακήσιος.

42. ἈΤΡΕΙΔΗΣ καὶ ἈΤΡΕΙΔΗΣ· πατρωνυμικὸν ἀπὸ τοῦ Ἀτρεύς. τὰ ἀπὸ τῶν εἰς ν, ξ, ψ, ρ, γινόμενα πατρωνυμικὰ εἰς δης διὰ τοῦ ι γράφεται· Μέμνων, Μεμνονίδης· Φοῖνιξ, Φοινικίδης· Πέλοψ, Πελοπίδης· Νέστωρ, Νεστορίδης. καὶ τὰ ἀπὸ τῶν εἰς ος καὶ ως, οἷον Βῆλος, Βηλίδης· ἥρως, ἡρωΐδης, καὶ συναιρέσει, Ἡρῴδης. ἔτι τὰ μητρωνυμικὰ πάντα, οἷον Λήτω, Λητοΐδης· Δανάη, Δαναΐδης. τὸ δὲ Φιλομηλείδης, κύριον ὄν, διὰ διφθόγγου γράφεται. τὰ δὲ ἀπὸ τῶν εἰς ευς καὶ ως Ἀττι-

Σιμοείσιος] e Phav. dedimus pro vulg. Σημοείσιος: qua in littera Philemonis librarius saepe peccavit v. ad §. 42.

ἀπὸ τοῦ ἀλῶ] Eandem vocis etymologiam tradit Etym. M. p. 61,38. Mox Phavorino duce vulgatam ἀθεμοίσιος ἀπὸ τοῦ ἀθεμόεις mutavi. Voce ἀνθεμοείσιος Lexica carent. Ἀνθεμοεισίδα λίμνην memorat Apollonius Rhod. 2,714. ubi vide Schol. Quod sequitur οἱ μὲν ἄλλοι nescio an cum οἱ μὲν Ἀττικοὶ, commutandum sit.

42. Phav. h. v. p. 312,46.

Ἀττικῶς] Phav. Ἀττικῶν, et mox μακροπαράληκτον pro μακροκατάληκτον.

κῶς, καὶ τῶν εἰς αῖος γινόμενα, διὰ διφθόγγου γράφεται, οἷον Ἀτρεὺς, Ἀτρείδης· Εὔνεως, Εὐνείδης· Ἀλκαῖος, Αλκείδης. ἔτι τὰ ἀπὸ τῶν εἰς ης, καὶ εἰς ους, μακροκατάληκτον ἔχοντα τὴν γενικὴν, οἷον Εὔκλης, Εὔκλους, Εὐκλείδης· χωρὶς τριῶν, οἷον Θρασυμήδους, Θρασυμηδίδης· Δικήρους, Δικηρίδης· Θεοκύδους, Θεοκυδίδης, καὶ κράσει τοῦ ε καὶ ο εἰς ου, Θουκυδίδης.

43. ἍΤΤΑ· ἅτινα, σημαίνει ἐνίοτε καὶ ὅσα, ὡς παρ' Αντιφῶντι. ἔτι δὲ καὶ τὸ τινὰ καὶ ποῖά τινα σημαίνει, ὡς παρὰ Δημοσθένει. ἐνιαχοῦ δὲ παρέλκει τὸ ἅττα, ὡς τὸ, Χιονίππου πύθου χελι-

Θρασυμήδους] Cod. et Phav. Θρασυμίδους, Θρασυμίδης.
καὶ ο] e Cod. et Phav. restitui.

43. Phav. h. v. p. 314,10. Lexicon SGM. ined. cod. Paris. Reg. 347. fol. 44. *recto*: Ἄττα: τινὰ, ἢ ἅτινα, ἢ παραπλησίον, ἢ ὀλιγα.

Ἀντιφῶντι] in deperdita eius orat. περὶ τοῦ Λινδίων φόρου, annotante Harpocrat. v. ἅττα p. 32. ed. Gron. et Phavorino, qui tamen falso Λυδίων: illo enim titulo oratio etiam alibi gaudet, in Harpocrat. v. Ἀμφίπολις p. 12.

Δημοσθένει] nempe in Philippicis annotante Phav. et Auctore lexici in Bekkeri *Anecd. Gr.* T. 1. p. 461., orat. 1. p. 54,25. Reisk. οὐ γὰρ ἅττα ποτ' ἔσται δεῖ σκοπεῖν, ἀλλ' ὅτι φαῦλ'.

ὡς τὸ, Χιονίππου — φαίνεται] In ed. Angl. distinguebatur ὡς τὸ, χιονίππου πύθου etc. Primum hic Comici usque ignoti nomen comparet, quod si ferre nolis, cum Chionide commutare possis, priscae comoediae poeta, qui constat ex Eudociae memoria Violar. p. 436. et Suidae. At quidni feras?

δὼν πηνίκ' ἄττα φαίνεται. ψιλούμενον δὲ τινὰ σημαίνει. τὸ γὰρ δασυνόμενον ἅτινα, ὡς παρὰ

Alia autem eaque graviori difficultate locus hic premitur, quod qui versus hic Chionippo tribuatur, Aristophanis contra auctoritate ab Harpocrat. v. ἄττα p. 32. ed. Gron. citetur, unde inter incerta Aristophanis fragmenta Brunckius T. 4. p. 278. et Chardonus de la Rochette in *Melanges de critique et de philologie* Tom. 2. p. 464. retulerunt. Quam auctorum discrepantiam nescio an hinc ortam esse recte sim suspicatus, quod Grammaticus Chionippi nominis raritate offensus, comici certe alicuius hunc versum esse maluerit pronunciare, quam nomine comici fortasse falli. Atque exstant, quod laetor, etiam hodie huius facti vestigia ita manifesta, ut de ipsa re dubitare candide nequeas. Vide enim mihi annon Auctor lexici in Bekkeri *Anecd. Graec.* T. 1. de hoc Chionippi versu aperte cogitarit, quum scriberet p. 461. τῶν δὲ κωμικῶν τις τὸ ἄττα ἐπὶ ἀριθμοῦ ἔταξεν, ἕτερος δὲ ἐπὶ χρόνου: quorum verborum prior pars Pherecratis versum Philemoni mox laudatum respicit: accedit quod Harpocratio iisdem fere verbis utatur, Ἀριστοφάνης δὲ ἐπὶ χρόνου. Jam age ex Etymologi M. loco doceamus qui factum sit, ut Comicum *aliquem* Aristophanes expulerit. Is enim κωμικόν τινα cum τῷ κωμικῷ τῷ πάνυ confundens, ita p. 167,45. seq. ex Harpocrat. et Philemone facile emendandus: ὁ Κωμικὸς δὲ χρονικῶς [sic lege pro χρονικὸν e Schol. Platon. Sophist. p. 35. Ruhnk.] αὐτὸ παραλαμβάνει· πύθου [editum πύθου] χελιδὼν πηνίκ' [vulg. τηνίκ'] ἄττα γίνεται: — λέγει [f. λέγε] ὁπότε χελιδὼν γίνεται. Grammatici quum iam τὸν κωμικὸν reperirent, num mirum videtur, ipsum hinc Aristophanem evasisse? — Ceterum quum tanto in consensu auctorum de lectione πηνίκ' ἄττα dubitari non possit, defenditur vulgata in Aristoph. Av. 1521. Inv. πηνίκ' ἄττ' ἀπώλετο a Dawesio *Misc. Crit.* p. 526. ed. Kidd., Toupio *Emend. in Suid.* T. 3. p. 5., Brunckio, aliis frustra sollicitata. Fidem

Δημοσθένει ἐν τῷ περὶ παραπρεσβείας· ὁ δὲ πρεσβεύων Αἰσχίνης οὗτος ἐλθὼν πῶς μὲν καὶ ἄττα ποτὲ διελέχθη. ἐνίοτε δὲ ἐκ τοῦ περιττοῦ προστίθεται, ὡς ἐν τῷ Χείρωνι Φερεκράτους· τοῖς δέκα ταλάντοις ἄλλα προστιθεὶς, ἔφη, ἄττα πεντήκοντα.

ἐνταῦθα

denique lectionis etiam cod. Rav. firmatae facit Comici incerti fragmentum nondum animadversum ap. Schol. Platon. l. c. ita distinguendum:

ὁπηνίκ' ἄττ' ὑμεῖς ὀρχούμενοι
κοπιᾶτε.

Δημοσθένει ἐν τῷ περὶ παραπρεσβείας] Περὶ nobis debetur. Ceterum locus hic Demosthenis insigni lectionis varietate hodie a Reiskio ita editus est T. 1. p. 438. οὐχ ὁ μὲν γράφων τὸ ψήφισμα Εὔβουλος ἦν, ὁ δὲ πρεσβεύων εἰς Πελοπόννησον Αἰσχίνης οὑτοσί; ἐλθὼν δ' ἐκεῖσε ἄττα μὲν τότε διελέχθη καὶ ἐδημηγόρησεν, αὐτὸς ἂν εἰδείη: quae verba, ni fallor, e Philemone et corrigi et augeri possunt; etiam vulgabatur ante Reiskium μέν ποτε. Ut Philemo, ita etiam Phav., praeterquam quod vocula μὲν careat omnino: Etymologus M. p. 167,43. nimiumquam brevis, Δημοσθένης, ἄττα διελέχθη.

Φερεκράτους] Phav. Φερεκράτης. Ipsius comici verba ad numeros trochaicas Burgessius ad Dawes. *Misc. Crit.* p. 529. ed. Kidd. ita redigenda proposuit:

— τοισδὶ δέκα ταλάντοις ἄλλα πρόσθῃς, ἔφη,
ἄττα πεντήκοντα.

Nimirum Etym. et Harpocrat. προθῇς pro προστιθείς.

ἄλλα προστιθεὶς, ἔφη, ἄττα] Obiter Eumathio de amor. Ismen., in quo scriptore quamvis non elegantissimo integritati suae optimorum MSS. ope reddendo nos aliquando elaborabimus, 8. p. 370. ed. Lips. καὶ γένος καὶ πατρίδα λαμπρολογεῖ, καὶ ἄλλα πολλὰ καταγλωσσαλγεῖ restitue e codd. bibl. Reg. Paris. 2915. 2897. et Vaticano ἄλλ' ἄττα πολλὰ, eo etiam ducente libri Mosquensis ἄλλα τὰ πολλὰ, et Paris.

ἐνταῦθα γὰρ οὐδὲν τὸ ἄττα σημαίνει. τὸ αὐτὸ ῥητέον καὶ ἐπὶ τοῦ ἅσσα, ὅτι τρία σημαίνει, τὸ ἅτινα, τὸ ὅσα, καὶ τὸ τινά.

44. ἈΧΑΙΟ'Σ· ὄνομα ἐθνικόν. τὰ δὲ ἐθνικὰ τετραχῶς λαμβάνονται, ἐκ πόλεως, ἐξ ἔθνους, ἐκ χώρας, ἐκ βασιλείας, ὡς τοῦτο· τὸ γὰρ Ἀχαιὸς ἀπὸ Ἀχαίου βασιλέως. καὶ τὰ διὰ τοῦ αιος, εἰ ἔχουσι πρὸ τῆς αι διφθόγγου τὸ χ, προπερισπῶνται, οἷον ἀρχαῖος· τροχαῖος. σεσημείωται δὲ τὸ Ἀχαιὸς, καὶ τὸ Ἐρυσίχαιος, καὶ ἕτερα.

2914. lectione ἄλλα τε πολλά. Formulam habes in Xenoph. Hell. 3, 4, 24. Recte igitur Reiskius e cod Augustano Demostheni in Spudiam T. 2 p. 1031,23. ἕτερ' ἄττα πολλὰ reddidit. Ἄλλ' ἄττα ubivis obvium, disiunctim scribendum e Schaeferi sententia ad Gregor. Cor. p. 7., id quod clare etiam hic Pherecratis locus docet: cf. editores Dawes. *Misc. Crit.* p. 527. seq. ed. Kidd. Ceterum ipsos Grammaticos de scriptura vocis, utrum ἄττα praestet an ἅττα, magnopere dissensisse annotavit Fischerus ad Platon. Phaedon. 3. Denique iuvat locum Platonis notare, cui vox ἄττα levem impegit stribliginem, facile demendam: editur enim in Gorgia p. 494. B. μεγάλ' ἄττα τὰ τρήματα, ubi articulum ultima vocis ἄττα peperit, in hac formula propter incertam ipsius voculae ἄττα vim alienum omnino. Substantivis nonnisi rarissime iungitur: Plat. Menex. p. 236. B. περιλείμματ' ἄττα, Thucyd. 2, 100. ἄλλ' ἄττα χωρία.

44. Phav. h. v. p. 338,26., qui cum Codice mox Ἀχαιῷ: nomen proprium autem haud temere crediderim fuisse Ἄχαιος, gentile contra Ἀχαιός, uti Ἀθήναιος et Ἀθηναῖος.

Ἐρυσίχαιος] E Codice editum Εὐρυστιχαιός, accinente Phav. At audi Arcadium de accent. p. 45,13. τὸ ἐρυσίχαιος

B.

45. ΒΑΣΙΛΙΚΟ'Σ· ὄνομα κτητικόν. τὰ γὰρ εἰς κος, τινὰ μὲν κτητικά, οἷον βασιλικὸς λόγος, ἢ ὃν ἔγραψε βασιλεὺς, ἢ ὃν ἔγραψέ τις πρὸς βασιλέα. καὶ Πλατωνικὸν βιβλίον, τὸ τοῦ Πλάτωνος. τινὰ δὲ δηλοῦσιν ἐπιτηδειότητα τινὸς εἴς τι, οἷον δρομικὸς, ὁ ἐπιτηδειότητα ἔχων εἰς δρόμον, κἂν μηδέπω ἔδραμεν· καὶ πυκτικὸς, εἰς τὸ πυκτεύειν. τὰ δὲ λέγονται ἐνεργείᾳ, οἷον μουσικὸς, ὁ εἰδὼς μουσικήν· καὶ γραμματικὸς, ὁ εἰδὼς γραμματικήν. τὰ δὲ φύσει, οἷον λογικὸς, ὁ λόγῳ χρώμενος.

46. ΒΕΛΟ'ΝΗ· τὸ ὄργανον, παρὰ τὸ ὅλη βάλλεσθαι· διὰ τοῦ ο μικροῦ γράφεται. τὰ γὰρ διὰ τοῦ ονη, εἰ μὲν οὐσίαν σημαίνει, πάντα βαρύ-

προπαροξύνεται; idemque mox 18. Ἔτι τὰ διὰ τοῦ αιος ἐθνικά, ἀθηναῖος, θηβαῖος, ῥωμαῖος· σεσημείωται τὸ ἀχαιὸς ὀξυνόμενον, καὶ τὸ ἐρυσίχαιος προπαροξυνόμενον. Denique adde Apollodori fragm. e Strabone laudatum T. 1. p 424. ed. Heynii: Τῆς δὲ μεσογαίας κατὰ μὲν τὴν Ἀκαρνανίαν Ἐρυσιχαίους τινάς, φησὶν Ἀπολλόδωρος λέγεσθαι, ὧν Ἀλκμὰν μέμνηται. Fusius Stephan. Byz. v. Ἐρυσίχη p. 355 ed. Berkel , unde huc maxime pertinent: ὁ Τεχνικὸς γὰρ καὶ Ἡρωδιανός φησιν, ὅτι σεσημείωται τὸ Ἐρυσιχαῖος προπερισπώμενον ἐν τοῖς ἐθνικοῖς, quae ex editt. Aldina 1502. et Basil. a. 1568. corrigi debuissent, προπαροξυνόμενον ferentibus.

45. Phav. h. v. p. 355,37.

46. Idem h. v. p. 362,34. Etym. M. p. 194,46.

νονται, οἷον βελόνη· περόνη· ἀγχόνη, τὸ σχοινίον ἐπὶ δὲ τοῦ πράγματος, ὀξύνεται, οἷον ἡδονή· καλλονή· ἀγχονὴ, ἡ ἄγξις, ἤτοι αὐτὸ τὸ πρᾶγμα.

47. ΒΕ'ΛΤΕΡΟΣ καὶ ΦΕ'ΡΤΕΡΟΣ· οὐ συγκριτικά· θέματα δέ εἰσι συμπεπτωκότα τύποις συγκριτικῶν. οὐδὲ γὰρ πάντα τὰ εἰς δης πατρωνυμικά εἰσιν, οὐδὲ πάντα τὰ εἰς κος. κτητικά. καὶ δῆλον ἐκ τούτου, οὐδὲν εἰς ρος λήγει συγκριτικὸν μετὰ στερήσεως λεγόμενον. εἰ οὖν ἀβέλτερος φαμὲν, δῆλον ὅτι οὐ συγκριτικόν. τὸ γὰρ ἀτυχέστερος οὐκ ἐν τῷ συγκριτικῷ εἴληφε τὴν σύνθεσιν.

48. ΒΙ'ΒΛΟΣ· ἁπλοῦν. βιβλίον δὲ, ὑποκοριστικόν. βιβλίον καὶ τὸ μὴ γεγραμμένον χαρτίον, ἀπὸ τοῦ φυτοῦ τῆς βύβλου κατ' ἐναλλαγὴν γράμματος, ὡς καὶ τῆς τοιαύτης βύβλου κατεργαζομένης ποτὲ εἰς ὑποκείμενον γραμμάτιον. καθὰ καὶ ὁ

ἀγχονὴ, ἡ ἄγξις, ἤτοι αὐτὸ τὸ πρᾶγμα] Reduxi e Cod. τό: ap. Phav. ἤτοι etc. desunt. Scite autem postrema addit Philemo; nam ἀγχόνη, ubi instrumentum mortis significat, paroxytonon est. Vide Valckenar. ad Phoeniss. 335. Adde Neophronem apud Schol. Euripid. Med. 1387.

47. Phav. h. v. p. 362,44. Similia Etym. M. p. 195,7., qui ea Philoxeno deberi annotat.

συγκριτικῶν] Cod. συγκριτικοῖς.

48. Phav. h. v. p. 366,36. Edidit Villois. ad Apollon. Lex. Hom. p. 690. seq.

γραμμάτιον] Ita Villois.: vulgo γραμμάτων. Vox γραμμάτιον, nuper ab Heindorfio ad Plat. Gorg. 44. (p. 326. D.)

ἀπὸ ξύλου, πίναξ· ὡς εἶναι τῆς παλαιοτάτης χρήσεως καὶ τὴν βύβλον ὁμοίως τῷ πίνακι καὶ τῇ πυξίδι. λέγεται δὲ καὶ πιττάκιον τὸ χαρτίον, διὰ τὸν τρόπον τῆς πτύξεως· ὡς γὰρ δελτωτὸν σχῆμα τῆς δέλτου, οὕτω καὶ πιττάκιον διὰ τὸ τετραγωνίζεσθαι πτυσσόμενον, ὁμοίως πῶς τῷ τῆς χυτῆς πίττης σχηματισμῷ. οἱ δὲ παλαιοὶ καὶ ἐν τῇ κατ' Εὐριπίδην Φαίδρᾳ, ἔνθα μνήμη πεύκης κεῖται, φασὶ πεύκην ῥηθῆναι τὴν ἐν τῇ χειρὶ τῆς Φαίδρας δέλτον, τὴν κατὰ τοῦ Ἱππολύτου, ὡς ξυλίνην οὖσαν, καὶ ἴσως ἐκ πεύκης.

defensa, legitur etiam apud Suidam v. Φιλοξένε γραμμάτων. T. 3 p. 606.

κατ' Εὐριπίδην] dici pro Εὐριπίδε, demonstrarunt Villois. Proleg. ad Iliad. p. XXIII. et Schaeferus ad Bastii *Commentat. Palaeogr.* p. 856. Mox vulgabatur, ἔνθα μνήμη πεύκης κεῖται· φασὶ δὲ πεύκην ῥηθῆναι: quae dedimus, partim Eustathio in Iliad. ζ. p. 489,53. partim Phavorino debentur. Habet quidem Codex illud δὲ, quo oratio turbatur, sed ita ut punctis infra positis vocem abolendam esse librarius ipse significarit, quod apposito hoc ipso Philemonis loco docte Bastius l. c. docuit: adde Arcad. de accent. p. 39,25.

ἔνθα μνήμη πεύκης] Hoc in ea, quae hodie exstat Euripidearum fabularum editio, frustra quaesieris: quare Valckenarius, quum Philemonis verba in Eustathio l. c. reperiret, ea in priori fabulae editione locum habuisse non sine maxima probabilitate ad Hippol. 1253. suspicatus est: tribus enim locis (v. 856. 865. 1057.), quibus de fatali tabella ista subdititia agatur, a poeta δέλτος, neutiquam πεύκη usurpari. Qui de duplici fabulae recensione locus quamquam latius pateat, quam ut in hisce spatii angustiis explicari possit:

49. ΒΟΥ͂Ν ΣΙ'ΤΟΥ 'ΩΝΟΥ͂ΜΑΙ· ἐν τισιν ὀνόμασι κατὰ τὴν σύνταξιν προεπινοεῖται πρόθεσις, οἷον ἀποδίδομαι βοῦν σίτου· λείπει ἡ διά. καὶ πάλιν μάχιμος τὸ σχῆμα, πολὺς τὸν λόγον. λείπει ἡ κατά. οἱ χαρίεντες τῶν ἀνθρώπων· λείπει ἡ ἀπό. ὁμοίως καὶ ἡδὺ ἀναπνεῖ τῶν φυτῶν· ἐλλυχνίου ὄζει· δρέπομαι τῶν καρπῶν· πίνω τοῦ ὕδατος. ὅταν μὴ πάντας τοὺς καρποὺς τις μέλλῃ δρέπεσθαι, μὴ δὲ ὅλον τὸ προςκείμενον ὕδωρ πιεῖν, ἀλλὰ μέρος, τηνικαῦτα γενικῇ συντακτέον.

tamen non possum quin coniecturam hic promam, aptiori loco argumentis satis idoneis confirmandam, *Phaedrae* nomine inscriptam fuisse a poeta priorem, *Hippolyti* posteriorem fabulae editionem: quorum titulorum mutatio cur a poeta instituta sit, caussa me latere non videtur.

49. Phav. h. v. p. 383,21. Edidit Boissonad. ad Philostrat. Heroic. p. 298.

μάχιμος τὸ σχῆμα] Confert Boisson. l. c. e Philostr. Her. p. 10. (p. 663. Olear.) *μάχιμοι τὸ σχῆμα.*

οἱ χαρίεντες τῶν ἀνθρώπων] Excitat Boisson. l. c. ex Heroicis *τοὺς χαρίεντας τῶν ἀνθρώπων.* Idem mox cum verbis *ἡδὺ ἀναπνεῖ τῶν φυτῶν* apte comparat Heroic. p. 12. (p. 663. Olear.) *ἡδὺ γὰρ πνεῖ τῶν φυτῶν ἀναπνεῖ.*

δρέπομαι τῶν καρπῶν — δρέπεσθαι] Phav. *δρέπου τῶν φύλλων, πίε τοῦ ὕδατος· ὅταν μὴ πάντα τὰ φύλλα τις μέλλει δρέπεσθαι.* Dedimus iubente etiam Boisson. l. c. *μέλλῃ* pro vulg. *μέλλει*, et mox e Cod. *ὅλον τὸ προςκ.* adstipulante Phav. pro *ὅλον προςκ.* Deniqué flagitante sensu coniecturam Boissonadi *γενικῇ* vulgatae *αἰτιατικῇ* substituimus.

Γ.

50. ΓΛΥΚΙΣΤΟΝ· τὸ συγκριτικόν ἐστι, καὶ γλύκιστος ἐπὶ ἀρσενικοῦ. τὰ εἰς ῡς τριγενῆ ποιοῦσι συγκριτικὰ καὶ ὑπερθετικά. τριγενῆ δὲ λέγω βραδὺς, βραδεῖα, βραδύ· τὸ συγκριτικὸν βραδύτερος, βραδίων, βράδιστος. οὕτω καὶ γλυκύτερος, γλυκίων, γλύκιστος. γλυκίων, ἡ κλητικὴ, ὦ γλύκιον· τὰ εἰς ω̄ν συγκριτικὰ ὑπὲρ δύο συλλαβὰς ἀναβιβάζουσι τὸν τόνον ἐπὶ τῆς κλητικῆς, οἷον ἀρείων, ἄρειον. βελτίων, βέλτιον· γλυκίων, γλύκιον. τὰ εἰς ῡς συγκριτικὰ καὶ ὑπερθετικὰ, οἷον ὁ βραδὺς, ἡ βραδεῖα, τὸ βραδύ. τὸ δὲ πρεσβύτατος καὶ νεώτατος παραλόγως· ἀπαρασχημάτιστα γὰρ τοῖς τρισὶ γένεσιν. ἀλλὰ μήποτε ὁμοτυπίᾳ συγκριτικῶν ταῦτα ὑπάγονται. ἐξ οὗ γλυκαίνω καὶ γλυκασμός.

51. ΓΩΝΙ'Α· τὸ νῑ διὰ τοῦ ἰῶτα γράφεται. τὰ γὰρ διὰ τοῦ ῑᾱ θηλυκὰ μονογενῆ, πρὸ μιᾶς τὸν τόνον ἔχοντα, ὑπὲρ δύο συλλαβὰς, μὴ ὄντα ἀπὸ τῶν εἰς ῡς ὀνομάτων, ἢ ἀπὸ τῶν διὰ τοῦ ε̄ῡω̄ ῥημάτων, μήτε σύνθετα ἀφ' ἁπλοῦ ἔχοντα τὴν ε̄ῑ δίφθογγον, μήτε λεγόμενα καὶ εἰς ο̄ν̄ οὐδέτερα, μήτε ἀπὸ παροξυτόνου κατὰ κρᾶσιν γινόμενα, μήτε κατὰ διάστασιν εὑρισκόμενα, μήτε 'Αττικῶς ἐκτεί-

50. Phav. h. v. p. 424,52. longe a fine mutilus.

51. Idem h. v. p. 442,9. Qui post θύεια addit, ὃ σημαίει τὴν ἴγδην.

νοντα τὸ ᾶ καὶ παροξυνθέντα, διὰ τοῦ ἰῶτα γράφεται, οἷον ἀνία, ἀξία, μανία, ἠρεμία. πρόσκειται μονογενῆ, διὰ τὸ Ἀγαμεμνονεία χείρ· ὁ Ἀγαμεμνόνειος γὰρ καὶ τὸ Ἀγαμεμνόνειον. πρόσκειται ὑπὲρ δύο συλλαβὰς, διὰ τό μνεία, καὶ χρεία. πρόσκειται μὴ ἀπὸ τῶν εἰς ῡς, μήτε ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων, διὰ τὸ ταχὺς ταχεῖα· ἐκ γὰρ τοῦ δουλεύω, δουλεία γίνεται. πρόσκειται μὴ σύνθετα ἀφ' ἁπλοῦ ἔχοντα τὴν ει δίφθογγον· ἐπειδὴ ἀπὸ τοῦ δεία, τοῦ σημαίνοντος τὴν ἔνδειαν, γέγονε σιτοδεία. πρόσκειται μὴ λεγόμενα εἰς ον οὐδέτερα, διὰ τὸ ἐλεγεῖον, ἐλεγεία. πρόσκειται μὴ κατὰ διάστασιν, διὰ τὸ ἀνδρεία, ἡ ἀνδρία, ἐπὶ ἀρετῆς, ὅπερ ὁ μὲν Ἀπολλώνιος διὰ τοῦ ῑ γράφει, ὁ δὲ Ὧρος διὰ διφθόγγου· εὕρηται γὰρ κατὰ διάστασιν ἀνδρεΐα. πρόσκειται μὴ Ἀττικῶς ἐκτείνοντα τὸ ᾱ καὶ παροξυνθέντα· ἐπειδὴ τὸ ἱέρεια καὶ εὔκλεια Ἀττικῶς καταβιβάζουσι τὸν τόνον, καὶ τὸ ᾱ ἐκτείνουσι. τοιοῦτον καὶ τὸ θύεια, Ἀττικῶς. οἱ γὰρ Ἀττικοὶ ἐκτείνοντες τὸ ᾱ καὶ καταβιβάσαντες τὸν τόνον, καὶ τὴν αὐτὴν γραφὴν ἐφύλαξαν. τὸ δὲ νωθεία ἡ ἀργία, οὐκ ἔστιν ἀπὸ τοῦ νοθεύω, ἐκεῖνο γὰρ διὰ τοῦ ο μικροῦ· ἀλλ' ἴσως ἀπὸ τοῦ νωθρὸς νωθρεία, καὶ κατὰ ἀποβολὴν τοῦ ρ, νωθεία.

Δ.

52. ΔΑΐΦΡΩΝ· παρὰ τὸ δαῒ δοτικῇ καὶ τὸ φρήν. τὰ δὲ ἐκ δύο τελείων συγκείμενα ὀνόματα, ἢ ἀπὸ εὐθείας συντίθεται, ὡς τὸ ἕως, ἑωσφόρος· ἢ ἀπὸ γενικῆς, ὡς τὸ οὐδεὶς οὐδενὸς, καὶ τὸ ὥρα, ἡ φροντὶς, οὐδενόσωρα· καὶ Ἕλλη Ἕλλης, Ἑλλήσποντος· ἢ ἀπὸ δοτικῆς, ὡς Ἄρηϊ, ἀρηΐφιλος· καὶ δουρὶ, δουρικλυτός· ἢ ἀπὸ αἰτιατικῆς, ὡς τὸ νοῦν, νουνεχής· καὶ ποδὰ, Ποδαλείριος. ἀπὸ δὲ κλητικῆς μόνον οὐ συντίθεται. ἐπὶ δὲ τοῦ δαΐφρονος Πηνελοπείης, οὐ σημαίνει τὴν πολεμικὴν, ἀλλὰ τὴν σώφρονα καὶ συνετήν. παρὰ τὸ δαῶ, τὸ μανθάνω, δαήσω· καὶ ἐξ αὐτοῦ, δαίφρων. τὰ γὰρ ἀπὸ τῆς πρώτης συζυγίας τῶν περισπωμένων γινόμενα ὀνόματα, ἢ τῷ ε παραλήγει, ὡς τὸ ἁμαρτῶ, ἁμαρτοεπής· ἢ τῷ υ ψιλῷ, ὡς τὸ μισῶ, μισογύνης· ἢ τῷ ι, ὡς τὸ εἰλῶ, εἰλίπους· οἰδῶ, Οἰδίπους. ἢ τῷ ο, ὡς τὸ ἁμαρτῶ, ἁμαρτίνοος. οὕτω καὶ τὸ δαῶ, δαήσω, δαΐφρων.

53. ΔΕΗΣΙΣ· ἐκ τοῦ δέω, δεήσω, δεδέηκα,

52. Phav. h. v. p. 446,12., qui male mox ἄρα pro ὥρα; corrigendus etiam Etymol. M. p. 245,10.

δαΐφρονος Πηνελοπείης] Odyss. ο,355.

δαήσω] Cod. Phav. et Etymol. p. 245,19. δαΐσω: perperam. Mox Phav. et Etym. παραλήγουσιν.

53. Phav. h. v. p. 458,56. Etym. M. p. 253,37.

δεδέημαι, δεδέησαι, δέησις. τὰ γὰρ ἀπὸ τοῦ παθητικοῦ παρακειμένου δευτέρου προσώπου γινόμενα ὀνόματα, διὰ καθαροῦ τοῦ ος κλίνεται· καὶ τὸ Ἀττικὸν δεήσεως. οἱ Ἀττικοὶ γὰρ τῆς γενικῆς ταύτης τρέπουσι τὸ ο μικρὸν εἰς ω μέγα· καὶ τὰ παραλήγοντα τῶν φωνηέντων εἰς ε μεταβάλλουσιν.

54. ΔΕΙΜΑΛΕΌΣ· ἀπὸ τοῦ δεῖμος· καὶ ταρβαλέος ἀπὸ τοῦ τάρβος. τὰ διὰ τοῦ αλεος, ὑπὲρ δύο συλλαβὰς, πρὸ μιᾶς τὸν τόνον ἔχουσιν, οἷον ἀργαλέος, νηφαλέος. σεσημείωται τὸ δαιδάλεος, κατὰ ἀποβολὴν τοῦ ι, ἀπὸ τοῦ δαιδάλειος· καὶ κονισάλεος, ἀπὸ τοῦ κονισάλειος· αἰθάλεος. τοῦτο διαφέρει· πρὸ μιᾶς γὰρ ἔχει τὸν τόνον, καὶ πρὸ δύο. πρὸ μιᾶς γὰρ ὑπάρχει ἀπὸ τοῦ αἴθω, ὡς νήφω, νηφαλέος· ἡνίκα δὲ πρὸ δύο ἔχει τὸν τόνον,

54. Phav. h. v. p. 461,55. De nominum in αλεος desinentium accentu egregie disputavit E. G. Barkerus in *Aristarcho Anti-Blomfieldiano*, sive *a Reply to the notice of the new Greek Thesaurus*, Londini edito 1820. Particula I. p. 7. seq. et XVIII. Vide et ipsam Londinensem H. Stephani thesauri editionem p. 1493. a. v. αἰθαλέος, ubi tamen ab editoribus in eo erratum est, quod vocem νηφαλέος et Philemonis et Arcadii de accent. p. 38,26. seq. auctoritate firmatam nihili esse contenderunt. Utramque vocis formam et Schneiderus et Riemerus optime agnoscunt, modo non νηφάλεος evulgassent.

δαιδάλεος] Cod. δεδάλεος, quod cave ne defendere studeas ex Arcadio l. c. p. 39,3. διὰ τὸ δεδάλειος, δαιδάλεος ubi reponendum διὰ τὸ δαιδάλειος, δαιδάλεος: paullo ante pro αὔλεος lege ἀργαλέος. Recte Suidas v. ἐργαλέον.

ἀπὸ τοῦ αἰθάλειος γέγονε, κατὰ ἀποβολὴν τοῦ ῑ, ὡς παρὰ Ἀπολλωνίῳ, αἰθάλεοι πρηστῆρες. ἀτασθάλεος ἀπὸ τοῦ ἀτασθάλιος, κατὰ τροπὴν τοῦ ῑ εἰς ε̄, ἢ ἀπὸ τοῦ ἀτασθάλειος, κατὰ ἀποβολὴν τοῦ ῑ.

55. ΔΕ'ΝΔΡΟΝ κλίνεται δένδρου, καὶ δένδρος δένδρεος· ὡς τὸ ἀνδράποδον, καὶ ἀνδράποδος, καὶ τὸ κτέατον, καὶ κτέατος. ταῦτα γὰρ καὶ ἄλλα διπλῆν ἔχουσι κλίσιν· ὡς παρ' Ὁμήρῳ καὶ ἄλλοις ἐστὶν εὑρεῖν. δένδρεσιν Ἀττικῶς, δένδροις κοινῶς· ὡς δάκρυον κοινῶς, καὶ δάκρυ Ἀττικῶς.

56. ΔΕΣΜΟ'Σ· τὰ πληθυντικὰ, τὰ δεσμά· ἑτεροκλίτως. ὁμοίως ὁ μοχλὸς, τὰ μοχλά· ὁ κύκλος, τὰ κύκλα· ὁ χαλινὸς, τὰ χαλινά. ὁ ζυγὸς, τὰ ζυγά· ὁ σταθμὸς, τὰ σταθμά. διαθήκη ἑνικῶς, ἡ συνομωσία· οὐ πληθυντικῶς τὰς διαθήκας ἔλεγον.

Ἀπολλωνίῳ] Rhod. 4,777.

55. Phav. h. v. p. 466,47. Edidit Bastius *Epist. Crit.* p. 185.

Ὁμήρῳ] Habet is pluries δένδρεα et δένδρεσι: v. Dammii *Lex. Hom* p. 442.

δένδρεσιν Ἀττικῶς] Thomas M. p. 204. Bern. Δένδρεσιν, ὡς Θουκυδίδης [2,75.] καὶ ἕτεροι, οὐ δένδροις, ὡ. Ξενοφῶν. Vide Sturzii *Lex. Xenoph.* h. v. T. 1. p. 646. Boissonad. ad Philostrat. Her. p. 369. et 655. Mox Codex perperam ὡς δάκρυον Ἀττικῶς καὶ δάκρυ κοινῶς: editum praebet etiam Phav.

56. Ab initio nonnulla refert Phav. h. v. p. 470,58. Mox e Phav. p. 583,30. similia tradente negationem ante πληθυντικῶς restituimus.

δόρας, καὶ ἑτεροκλίτως δόρυ, δόρατος. καὶ ὕδωρ ὕδατος· ἔστι δὲ ὕδωρ ὕδαρος· καὶ ὕδαρ ὕδατος. ἐὸς, ἐὴ, ἐὸν, τὸ ἀγαθόν. τὸ δὲ ἐὸν οὐκ ἐκλίθη, ἀλλ' ἐὰ, τὰ ἀγαθὰ, ἵνα μὴ συνεμπέσῃ τῇ ἐὸν μετοχῇ. καὶ ἐπίδεσμος, ἐπίδεσμα. ἡ κέλευθος, τὰ κέλευθα. Κλεωναὶ πληθυντικῶς, Κλεωνὴ δὲ ἑνικῶς. λύχνος, λύχνα. μέγα μεγάλου. καὶ οὖς ὠτός· καὶ ποιητικῶς, οὖας οὔατος. τὰ παιδικὰ, τῶν παιδικῶν, ἐπὶ ἀῤῥένων καὶ θηλείων. λήϊα, σκῦλα, λάφυρα· πάντα πληθυντικῶς. ἦθος, καὶ ὄφελος, ἄφενος· μονήρες ὄνομα. σέας, σεῖς, πληθυντικῶς, τοὺς σκώληκας· ἡ εὐθεῖα ἐν χρήσει οὐχ εὕρηται, ἀλλ' αἱ πλαγίαι.

57. ΔΕΣΜΩ'ΤΗΣ. πᾶν ῥῆμα τῆς τρίτης συζυγίας τῶν περισπωμένων ἐν τοῖς ὀνόμασιν ἢ διὰ τοῦ ω̄ μεγάλου ὀξέως ἐκφέρεται, οἷον χρυσῶ, χρυσωτής· μισθῶ, μισθωτής· ἢ διὰ τοῦ ο̄ μικροῦ γράφεται βαρέως, οἷον ὁμόσω, ὁμότης· ἀρόσω, ἀρότης. οὐκ ἄρα οὖν τὸ δεσμώτης ἀπὸ τοῦ δεσμώσω μέλ-

ἐκλίθη] Vulgo ἐκλήθη. Phav. p. 543,45. τὸ δὲ ἐὸν οὐκ ἐκλίθη, ἀλλ' ἐὰ τὰ ἀγαθὰ, ἵνα μὴ συνεμπέσῃ etc. vide §. 61.

Κλεωνὴ δὲ ἑνικῶς] Vereor ne Grammatici inventum sit. Arcadius enim de accent. p. 11,26. καὶ τὸ κλεωναὶ καὶ μοχωναὶ πόλεις, πληθυντικῶς λεγομέναι: et Κλεωναὶ ubivis obvium, Κλεωνὴ contra nondum mihi occurrit. Ceterum de vocis etymo adeas Etym. M. p. 517,28.

λήϊα] E Cod. λεῖα editum. Mox e Cod. dedimus ἦθος pro vulg. ἦδος.

57. Phav. h. v. p. 471,8. Partem priorem habet Etym. M. p. 258,1. Codex mox ἢ τοῦ διὰ τοῦ ā.

λοντος, ἐπεὶ ὤφειλεν εἶναι δεσμωτὴς διὰ τοῦ ω̄ μεγάλου· ἀλλ' ἀπὸ τοῦ δεσμὸς, ὅθεν καὶ διὰ τοῦ ο̄ μικροῦ ἔδει γράφεσθαι· ἡ δὲ συνήθεια διὰ τοῦ ω̄ μεγάλου γράφει. δεσμώτης δὲ καὶ αὐτὸς ὁ δέσμιος· καὶ ὁ Προμηθεύς.

58. ΔΗΜΟΣΘΕΝΗΝ Ἀττικῶς μετὰ τοῦ ν̄ λέγομεν, ὡς καὶ Ἀριστοφάνην· ἀληθῆ δὲ καὶ ψευδῆ δίχα τοῦ ν̄. ἐπίθετα γὰρ οὕτως Ἀττικοὶ καὶ πάντες τῶν Ἑλλήνων προφέρουσι. τὰς δὲ τῶν κυρίων αἰτιατικὰς μόνοι Ἀττικοὶ προφέρουσι μετὰ τοῦ ν̄· καὶ ἐπ' αὐτοῖς μόνοις τὸν κάνονα ἐφύλαξαν τὸν λέγοντα δεῖν τὴν αἰτιατικὴν ἰσοσυλλαβοῦσαν τῇ εὐθείᾳ διὰ τοῦ ν̄ ἐκφέρεσθαι.

59. ΔΗΜΟΤΗΣ· ὁ πολίτης Ἀττικοὶ ἄνευ τῆς σῦν· ὡςαύτως καὶ πολίτης, καὶ ἡλικιώτης, καὶ στασιώτης. Ἀττικῶς δὲ δηλοῖ τὸν τοῦ αὐτοῦ δήμου μετέχοντα. δόκιμον δὲ ἄνευ τῆς σῦν. συμπότης δὲ οὐ χωρὶς τῆς σῦν· ἀλλὰ μόνως τὸ πότης δίχα τῆς σῦν. λέγεται δὲ ἐπὶ μεθύσου· καὶ ἐπὶ λύχνου ἀναλίσκοντος πολὺ ἔλαιον.

58. Nonnulla Phav. h. v. p. 478,1. Edidit Boissonad. ad Philostr. Her. p. 495.

τὰς δὲ τῶν κυρίων etc.] Cf. Etym. M. p. 152,19.

τὴν αἰτιατικὴν] Cod. τῇ αἰτιατικῇ, cuius loco vulgatam iam Boisson. restituerat.

59. Confusa tradit Phav. h. v. p. 478,23. R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 198. „Videndus Philemon in voce πολίτης. Quae de praepositione σὺν ibi notantur, Herodiano deprompta sunt." Mox pro ὁ πολίτης Cod. ὁπλίτης.

60. ΔΟΛΟΜΗ'ΤΑ· δόλια βουλευόμενε, κλητικῆς πτώσεως. τὰ γὰρ εἰς της βαρύτονα, τῷ η παραληγόμενα, καὶ εἰς ᾱ τὴν κλητικὴν ἔχοντα, προπερισπῶνται, οἷον πεδῆτα· ἀγκυλομῆτα· πλὴν τοῦ ἀκάκητα.

61. ΔΥ'Ο· οἱ μὲν πληθυντικῶς κλίνοντες διὰ τοῦ ο̄ μικροῦ τὸ δύο προφέρουσι, τὰ δύο, τοῖς δυσί· οἱ δὲ δυϊκῶς, διὰ τοῦ ω̄ μεγάλου, τὼ δύω, τοῖν δυοῖν.

62. ΔΩΛΩΦΟΝΙ'Α· ἡ νυκτεργασία, καθ' ἣν δηλαδὴ ὁ Δώλων πεφόνευται. λέγεται δὲ καὶ Δωλώνεια, ὥςπερ καὶ Πατρόκλεια. παροξύνονται δὲ καὶ ἄμφω αἱ τοιαῦται λέξεις· ὥςπερ καὶ Τηλεγόνεια, κατὰ τὴν παλαιὰν ὀρθογραφίαν, ἡ κατὰ Τηλέγονον πραγματεία· καὶ Ἡράκλεια, ἡ κατὰ Ἡρακλέα· καὶ Ὀδύσσεια, ἡ κατὰ Ὀδυσσέα· καὶ Ὀρέστεια, ἡ κατὰ τὸν Ὀρέστην.

Ε.

63. ἙΑΝΟ'Ν· ὄνομά ἐστιν ἐπίθετον· λαμβάνεται δ' ὅμως ὡς χρῆμα, ἤγουν πέπλος, προση-

60. Phav. h. v. p. 524,56. Etym. M. p. 282,42., qui pro της habent ης. Mox vulgo τὸ η gro τῷ η.

62. Phav. h. v. p. 541,46. Codex mox male πράγματα pro πραγματεία.

63. Phav. v. ἑανὸς p. 544,41. Laudat Iliad. ε, 734. et θ, 306. R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 198.

γορικῶς· οὐδέποτε γὰρ ὁμοῦ δύο ἐπίθετα, πολλῷ δὲ πλέον οὐδὲ τρία κεῖται, χωρὶς κυρίου, ἢ προσηγορικοῦ.

64. ἘΓΚΑ'ΤΟΙΣΙ· ἀντὶ τοῦ ἐγκάτοις. ἀποβολῇ τῆς τοι συλλαβῆς, ἔγκασι. οὐκ ἔστι δὲ συγκοπή· μάχεται γὰρ ἐπεκτάσει συγκοπὴ, ἐναντίον γάρ. ἄμεινον οὖν μεταπλασμὸν λέγειν. ἔστι γὰρ ἐγκάτοισι κατὰ μεταπλασμὸν ἔγκασιν, ὡς ἄστροις ἄστρασι. οὕτως καὶ Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

65. ἜΓΧΕΛΥΣ· τὸ ἑνικόν· ἐγχέλεις, τὸ πληθυντικόν. καὶ ἐγχελέων, καὶ ἐγχέλεσι, ἐγχέλεις. Ὅμηρος διὰ τοῦ υ ἐγχέλυες. Φαίνεται καὶ διὰ τοῦ εως ἔχειν τὴν κλίσιν. ἔγχελυν Ἀττικοί· ἔγχελιν Βοιωτοί.

66. ΕἸΛΙΚΡΙΝΉΣ· ὁ καθαρός. τὰ εἰς η λήγοντα θηλυκὰ τετραχῶς συντίθεται. ἤτοι γὰρ φυλάττει τὸ αὐτὸ τέλος, ὁπότε καὶ τὸ αὐτὸ γένος φυλάττει, οἷον μάχη, Ἀνδρομάχη· ἢ φυλάττει τὸ αὐτὸ τέλος, καὶ προςλαμβάνει σ· ὡς γυνὴ, μισο-

64. Phav. v. ἔγκασιν p. 550,37., unde sumpsimus γὰρ pro vulg. γοῦν.

65. Phav. h. v. p. 555,16. multum a Philem. discrepans. ἐγχέλυες] Editum ἐγχέλυας ad Homerum correximus, qui Iliad. φ, 203 et 353. ἐγχέλυές τε καὶ ἰχθύες. Accedit etiam ab Athenaeo 7. p. 299. ex Homero αἱ ἐγχέλυες citari.

ἔγχελυν Ἀττικοὶ etc.] Schol. Aristoph. Acharn. 889.

66. Etym. M. p. 299,4. Phav. h. v. p. 575,6.

εἵλη οὖν εἰλικρινής] Mendosi sunt Etym. p. 299,21. et Phav. ἕλη οὖν ἑλικρινὴς exhibentes.

γύνης. ἢ τρέπουσι τὸ τέλος εἰς ος, ὡς μάχη, πρόμαχος· ἢ τρέπουσι τὸ τέλος εἰς ον, ὡς πύλη, δίπυλον. ἢ καὶ ἄλλως, τὰ εἰς η λήγοντα θηλυκὰ ἐν τῇ συνθέσει, ἢ φυλάττει τὸ η, ὡς τὸ γῆ, γηπόνος· βοὴ, βοηθός. ἢ τρέπουσιν αὐτὸ εἰς ο, ὡς νύμφη, νυμφοστόλος· τιμὴ, Τιμόθεος. εἵλη οὖν εἱλοκρινὴς, καὶ τροπῇ τοῦ ο εἰς ι, εἱλικρινής.

67. ΕἹΜΑΡΜΈΝΗ· ὄνομα μετοχικὸν, οὐ μετοχή· ὥσπερ καὶ τὸ ἐρωμένη, καὶ τὸ ἄρχων, ἐνίοτε καὶ τὸ ἑκὼν, καὶ τὸ καύσων, καὶ ὅσα ἐξέπεσον τοῦ ἰδιώματος, ὅπερ ἔπαθον ταῦτα. τὸ δὲ εἱμαρμένη καὶ ἐρωμένη, ἐπεὶ παθητικὰ ὄντα, καὶ ὀφείλοντα πρὸς δοτικὴν συντάσσεσθαι ὡς τὰ παθητικὰ ῥήματα, ταῦτα πρὸς γενικὴν λέγονται· ἡ εἱμαρμένη γὰρ τοῦ δεῖνος λέγεται· καὶ ἡ ἐρωμένη τοῦ δεῖνος. ὁ δὲ ἄρχων, ἐπεὶ ὀφείλων ἐπίῤῥημα ἔχειν ἐπαγόμενον, δηλοῖ τῆς ἀρχῆς τὴν ἐνέργειαν, ὥπερ ἀπαιτεῖ τὸ ῥῆμα, οἷον ἄρχει τις δικαίως. ἐν γὰρ τῷ ἄρχειν δικαίως, τὸ δικαίως οὐ πρὸς τὸ ἄρχειν τείνει, ἀλλὰ πρὸς τὸν ἔχοντα τὴν ἀρχήν. τοῦτο ἐνίοτε μὲν ἐπίῤῥημα ἔχει ἐπαγόμενον, ὅτε καὶ μετοχή ἐστιν· ἐνιότε δὲ ὄνομα ἐπίθετον ἐπαγόμενον ἔχει, ὅτε ἐξ ἀνάγκης ὄνομά ἐστιν, ὡς ἐν τῷ ἄρχων ἀγαθός. τὸ δὲ ἑκὼν, ἐπεὶ ὀφεῖλον ἀπαρεμφάτῳ συντάσσεσθαι, ὡς τὰ τῆς θελήσεως πάντα ῥήματα,

67. Phav h. v. p. 576,27. Sub finem καίω dabat Phav. pro vulg. κάω.

οἷον θέλω φιλοσοφῆσαι, τοῦτο δὲ οὐδέποτε οὕτω συντάσσεται. τὸ δὲ καύ ων, ἐπεὶ ὀφεῖλον μετὰ δοτικῆς εἶναι, ὡς τὸ κάω, τοῦτο οὐ μεταβαίνει. ἔστι δὲ καύσων τὸ πολὺ θάλπος.

68. ΕἼΝΑΤΟΣ· ἀντὶ τοῦ ἔνατος, ποιητικὴν ἐπένθεσιν ἔχει τοῦ ι. ἀπὸ τοῦ ἐννέα ἔνατος δι' ἑνὸς ν γίνεται· καὶ ἀπὸ τοῦ τέτταρα τέταρτος δι' ἑνὸς τ. πλεονασμῷ τοῦ ι εἴνατος.

69. ἝΚΑΣΤΟΣ καὶ ἝΚΑΣΤΟΙ· τὸ αὐτό. ὥςπερ τὸ πᾶς καὶ πάντες· καὶ διὰ τοῦτο Ὅμηρος ἐπιφέρει,

οἱ μὲν ἄρ' ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος.

πᾶς ἄνθρωπος ἀναπνεῖ, καὶ πάντες ἄνθρωποι ἀναπνέουσι, τὸ αὐτό.

70. ἘΚΜΑΓΕΙ̃ΟΝ· σφραγὶς, ἐκτύπωμα, ἐκ τοῦ μάγος· καὶ τό μάγος ἐκ τοῦ μάττω· ὡς διδάσκαλος,

68. Phav. h. v. p. 578,23. Pro καὶ ἀπὸ suspicor lectum esse ὡς ἀπό.

69. Phav. h. v. p. 592,10. Edidit Boissonade ad Philostrat. Heroic. p. 587. Homeri locus est Iliad. τ, 277. ψ, 3. ω, 2.

70. Phav. h. v. p. 602,18. Etymol. M. p. 323,7. Zonaras Lex. h. v. T. 1. p. 659., quibus ducibus Philemoni reddidimus ἐκτύπωμα, etiam infra §. 241. obvium, pro vulg. ἐντύπωμα, quae vox nihili est omnino. Exstat quidem unice, quod sciam, apud Philostrat. Vit. Apoll. 2,33. p. 86., at invitis omnibus, quos inspeximus, libris MSS., ἐκτύπωμα ferentibus, cui Olearius suum ἐντύπωμα temere praetulit. Illa voce usus quoque est Philostratus iunior Imag. 10. p.

σκαλος, διδασκαλεῖον· καὶ πάσσαλος, πασσαλεῖον· καὶ ἰατρὸς, ἰατρεῖον.

71. ʽΕΚΟΝΤΗ'Σ μὴ λέγε, ἀλλ' ἐθελοντής· ἐπὶ δὲ ἐπιῤῥήματος ἀμφότερα λέγε, ἐθελοντὶ καὶ ἑκοντί.

881. Rem denique conficit Etymologicum Gudianum p. 179,19. Ἐκτύπωμα, ἐκσφράγισμα, ἐκμαγεῖον, ἐκ τοῦ ἐκμάσσω ῥήματος, quae fere repetuntur in Orionis fragmento ibidem edito p. 625,5., male adhuc distincta. Adde Zonar. Lex. T. 1. p. 660. Neque Schneiderus, neque Riemerus vocem in lexicis agnoscunt: neque absonum videbitur, etiam significationem verbi ἐντυποῦν eam, qua de fingendo opere statuario usurpari dicatur, in dubium vocare: nam duobus locis, quibus exceptis significationis huius aliud exemplum novi nullum, res ipsa potius vocem ἐκτυποῦν reclamat. Aristotel. de mundo 6,54. p. 270. ed. Kapp. φασὶ δὲ καὶ τὸν ἀγαλματοποιὸν Φειδίαν κατασκευαζόμενον τὴν ἐν ἀκροπόλει Ἀθηνᾶν, ἐν μέσῃ τῇ ταύτης ἀσπίδι τὸ ἑαυτοῦ πρόσωπον ἐντυπώσασθαι. Alter locus est in Plutarch. Pericl. 31. T. 1. p. 420. ἡ δὲ δόξα τῶν ἔργων ἐπίεζε φθόνῳ τὸν Φειδίαν, καὶ μάλισθ' ὅτι τὴν πρὸς Ἀμαζόνας μάχην ἐν τῇ ἀσπίδι ποιῶν, αὐτοῦ τινα μορφὴν ἐνετύπωσε, πρεσβύτου φαλακροῦ etc. Quam Phidiae effigiem nemo negabit fuisse anaglypticam sive ectypam. Apposite Xenophon de re equestri init. ὃς καὶ τὸν κατὰ τὸ Ἐλευσίνιον Ἀθήνησιν ἵππον χαλκοῦν ἀνέθηκε, καὶ ἐν τῷ βάθρῳ τὰ ἑαυτοῦ ἔργα ἐξετύπωσεν. Denique iuvat ad H. Stephani auctoritatem provocare, in Thes. Ling. Gr. vocabula ἐντύπωμα et ἐντυπωτὴς afferentis ut a nostrae aetatis hominibus excogitata.

71. Phav. h. v. p. 603,36. Thom. M. h. v. p. 285. Quae autem de adverbio ἐθελοντὶ praecipiuntur, vera ab omni parte non videntur: nam graecitati evicerunt adverbium ἐθελοντὴν Buttmannus *Lexilogo* p. 16 et Lobeckius ad Phrynich. p. 4. seq. Ceterum auge Lexica voce ἑκοντὴς, obvia etiam in Arcadio de accent. p. 25,26.

72. ἜΜΠΛΗΚΤΟΣ· ἈΠΌΠΛΗΚΤΟΣ. τὰ ἀπὸ τοῦ πλήττω, εἰ μὲν εἰς ο̅ς̅ λήγει, παθητικά εἰσιν, ἃ λέγεται ἐπὶ τῶν πληγέντων τὴν γνώμην, καὶ ἐκτραπέντων. εἰ δὲ εἰς η̅ξ̅, ἐνίοτε μὲν ἐνεργητικὰ, οἷον βουπλὴξ, τὸ βοῦν πλῆττον· ἐνίοτε δὲ παθητικὰ, οἷον παράπληξ, ὁ φθαρθεὶς τὰς φρένας· κατάπληξ, ὁ συνεχῶς πεπληγμένος· καὶ κατάπληξ Εἰλείθυια, ἡ πληγὰς συνεχῶς ἔχουσα.

73. ἘΜΦΕΡΗΣ· δοτικῇ συντάσσεται. Ἀριστοφάνης,

τῷ τῶν μαθητῶν ἐμφερὴς γενήσομαι,

ἤτοι ὅμοιος.

74. ἘΝΑΡΙΘΜΙΟΣ καὶ ἘΝΑΡΙΘΜΟΣ· λέγομεν συντασσόμενα ἀμφότερα πρὸς γενικὴν, καὶ πρὸς δοτικήν. Πλάτων γὰρ λέγει, ἐνάριθμον τῶν πολλῶν· καὶ ἐναρίθμιος ἐν πολέμῳ, παρ' Ὁμήρῳ·

72. Phav. h. v. p. 635,28.

73. Idem h. v. p. 637,52. Aristophanis locus est e Nub. 502.

74. Phav. h. v. p. 668,25. De Platonis loco mihi nihil adhuc innotuit.

Ὁμήρῳ] Iliad. β, 202.

οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιος, οὔτ' ἐνὶ βουλῇ.

Mox respicitur celeberrimus Aristophanis versus, Nub. 1205.

Ἀριθμὸς, πρόβατ' ἄλλως, ἀμφορῆς νενησμένοι,

cuius loci Scholiasta duce non sine iure possis suspicari in Philemonis μόνοι latere μάταιον, vel μάτην: ita enim ἄλλως Grammatici plerumque reddunt. Cf. praeter Heindorf. ad Plat. Theaet. 76. p. 387. etiam *Analecta Critica* p. 86. seq. Schol. Aristoph. Acharn. 114.

ἀντὶ τοῦ ἐν ἀριθμῷ καὶ λόγῳ κείμενος. ἔστι δ' ὅτε ἀριθμὸς καὶ ἐπὶ οὐδαμινότητι λαμβάνεται, ὡς ὁ Κωμικὸς λέγει, ὅτι οἱ θεαταὶ ἀριθμὸς ἄλλως εἰσὶν, ἤτοι πλῆθος μόνον.

75. ἙΞΑΕΤΗ'Σ· ἵππος· ἑξέτης δὲ. καὶ δεκαετὴς, δεκέτης δέ. ἀφαιρουμένου γὰρ τοῦ ᾱ, ἀναβιβάζει τὸν τόνον. τοιοῦτον ὁμοίως καὶ ὅταν συναιρῆται, τριακονταετὴς, τριακοντούτης. τὸ δὲ διετὴς καὶ τριετὴς οὐκ εἶχε τὸ ᾱ, ὥστε ἀποβάλλοι αὐτό. ἀναβιβάζει δὲ τὸν τόνον, ὅταν μὴ ἐπὶ ζῴου, ἢ πράγματος, ἀλλ' ἐπὶ χρόνου λέγεται, οἷον διέτης χρόνος, καὶ τριέτης.

76. ἙΞΑ'ΚΛΙΝΟΝ· ἙΞΑ'ΠΟΥΝ. Ἀττικῶς μὲν ἕξπουν, καὶ ἕξκλινον λέγεται, ὥσπερ καὶ παρὰ Σοφοκλεῖ ἑξπηχυστὶ, καὶ παρὰ Πλάτωνι τῷ κωμικῷ ἕξπουν. φυλάττει γὰρ τὸ τέλος τῶν ἀριθμῶν ἐν τῇ συνθέσει, οἷον πεντέμηνον· καὶ ἐν πεντεσυρίγγῳ ξύλῳ· Ἀττικοί. ἡμεῖς δὲ πεντάμηνον. ὀκτώ-

75. Phav. h. v. p. 668,25. R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 198. „Vid. Nub. Aristoph. 860. *Ea composita,* Stephani verbis utor, *in communi lingua acui, ab Atticis autem, accentum in penultimam retrahi.*"

τὸ δὲ διετὴς etc.] Idem praecipit Etym. M. p. 765,42. Mox loco ἀποβάλλοι Phav. ἀποβολεῖν.

76. Phav. h. v. p. 669,69. Similia Etym. M. p. 346,15. Verba usque ad ἑξπηχυστὶ pridem Brunckius ediderat *Lex. Sophocl.* p. 719.

ἐν πεντεσυρίγγῳ ξύλῳ] apud Aristoph. Equit. 1049. legi

πουν, καὶ ἡμεῖς ὀκτάπουν. εἰ οὖν ἄρα τὸ τέλος τῶν ἀριθμῶν φυλάσσει, ὁ δὲ ἓξ ἀριθμὸς τὸ ξ̄ φυλάσσει, φυλάττει ἄρα τὸ τέλος τοῦ ἀριθμοῦ ὁ λέγων ἕξκλινον. ἀλλ᾽ ἔστιν εἰπεῖν, ὅτι οὐδεμίαν λέξιν ἔχομεν εἰς διπλοῦν καταλήγουσαν καὶ ἐν τῇ συνθέσει φυλασσομένην. εἰσὶ δὲ αἱ φυλασσόμεναι ἐν παραθέσει· οἷον πὺξ μὲν ἐνίκησε· λὰξ ποδὶ νικήσας. εἰ οὖν ἕξπουν ἐν συνθέσει, ὀφείλει τρέπεσθαι, καὶ μὴ καταλήγειν εἰς διπλοῦν. ἀνάλογον, ὅτι πεφύλακται τὸ τέλος τοῦ ἀριθμοῦ, ὡς καὶ παρὰ τῷ Ποιητῇ· οἷον ἑξέτης, ἑξέτε᾽, ἀδμήτην· καὶ ἑξαέτης ἤνασσεν. οὐκ ἔστιν οὖν πλεονασμὸς, ὥς τινές φασιν. τὰ γὰρ εἰς κ̄ῑς̄ ἐπιῤῥήματα ἐν τῇ συνθέσει ἀποβάλλει τὸ κ̄ῑς̄, οἷον ἑπτάκις, ἑπτάμηνος· οὐ γὰρ ἀπὸ τοῦ ἑπτὰ ἀριθμοῦ. τέσσαρες ὁ ἀριθμὸς, τετράκις τὸ ἐπίῤῥημα· παρὰ τοῦτο τετράμηνον. οὕτως οὖν ἑξάκις, ἑξάκλινον· ἕξαπουν.

77. ἜΞΟΧΟΣ· πρὸς γενικὴν ἔχει τὴν σύνταξιν, οἷον μέγ᾽ ἔξοχος πάντων, διὰ τὴν ἐν λέξει ὑπε-

monuit R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 198. Mox pro νικήσας Phav. κινήσας.

Ποιητῇ] Iliad. ψ, 266 et 655. Quae sequuntur ἑξαέτης ἤνασσεν mihi ex Homero nondum succurrunt: in Odyss. γ, 305. habes ἑπτάετες δ᾽ ἤνασσε, quae nescio an Philemo respexerit. Ceterum ἤνασεν et Cod. et Phav., qui ad finem §. addit Ἡρωδιανὸς περὶ παθῶν.

77. Similia Phav. h. v. p. 682,42.

μέγ᾽ ἔξοχος πάντων] Iliad. β, 480.

ἠΰτε βοῦς ἀγέληφι μέγ᾽ ἔξοχος ἔπλετο πάντων.

ροχήν. ὑπέρθεσιν γὰρ δηλοῖ τὸ μέγα ἔξοχος. ποιεῖ δὲ ὁ Ποιητὴς τοῦτο καὶ ἐν ἄλλοις, ὡς ἐν τῷ δῖος Ἀχαιῶν· καὶ ἀριδείκετος ἀνδρῶν· καὶ δῖα γυναικῶν· τοιοῦτόν τι καὶ τὸ κορυφαῖος χοροῦ, αἱ δὲ ὑπερθέσεις φιλοῦσι τὴν γενικὴν σύνταξιν.

78. ἘΠΙΘΕΤΟΝ ὌΝΟΜΑ· ἔστι τὸ ἐπὶ κυρίων, ἢ προσηγορικῶν, ὁμωνύμως τιθέμενον, καὶ δηλοῦν ἔπαινον, ἢ ψόγον. λαμβάνεται δὲ τριχῶς, ἀπὸ ψυχῆς, ἀπὸ σώματος, καὶ ἀπὸ τῶν ἐκτός. ἀπὸ μὲν ψυχῆς, ὡς σώφρων· ἀκόλαστος. ἀπὸ δὲ σώματος, ὡς ταχύς· βραδύς. ἀπὸ δὲ τῶν ἐκτὸς, ὡς πλούσιος· πένης. τὰ δὲ ἐπίθετα τῶν ὀνομάτων μετὰ προσηγορικοῦ ἢ κυρίου λεγόμενα, εἰ δύο ἢ τρία ἢ καὶ πλείονα τύχοι ὄντα, μετὰ ἑνὸς ἄρθρου λέγονται, οἷον τὸν αὐστηρὸν καὶ παλαιὸν καὶ μέλανα οἶνον. χωρὶς δὲ ἄρθρου προφερόμενα, καὶ τῷ ὑπαρκτικῷ ῥήματι συντασσόμενα, δύνανται ἐπὶ πάσης πτώσεως καὶ παντὸς ἀριθμοῦ πληθυντικῇ γενικῇ μετὰ ἄρθρου προφέρεσθαι, οἷον ἀντὶ τοῦ εἰπεῖν, Δημοσθένης ῥήτωρ ἦν· λέγομεν, Δημοσθένης τῶν ῥητόρων ἦν, τουτέστιν εἷς ἀπὸ τῶν ῥητόρων ἦν. καὶ

Addidi μέγ', etiam propter sequentia. Ac Phav. Ἔξοχος· Ὅμηρος, μέγα ἔξοχος πάντων.

ἀριδείκετος ἀνδρῶν] Iliad. λ, 248.

δῖα γυναικῶν] Odyss. α, 332.

78. Miniminam partem Phav. v. ἐπίθετα p. 707,21. et a Philemone discrepantem omnino.

ἀντὶ τοῦ εἰπεῖν δὲ, Δημοσθένους ῥήτορος ὄντος· Δημοσθένους τῶν ῥητόρων ὄντος. ὁμοίως δὲ καὶ τὰ ῥήματα ἀναλύονται· πρότερον εἴς τε ὄνομα ἐπίθετον καὶ ὑπαρκτικὸν ῥῆμα· εἶτα τῇ αὐτῇ συντάξει δυνάμεθα χρῆσθαι, οἷον οἱ Λύκιοι συνεμάχουν τοῖς Τρωσί· πρότερον γὰρ ἐροῦμεν κατὰ ἀνάλυσιν, ὅτι οἱ Λύκιοι σύμμαχοι τοῖς Τρωσὶν ἦσαν· εἶθ' ὅτι οἱ Λύκιοι τῶν συμμάχων ἦσαν, ἢ καὶ μετοχῇ, οἱ Λύκιοι τῶν συμμαχούντων τοῖς Τρωσὶν ἦσαν. τὰ δὲ ἐπιμεριζόμενα σχηματίζονται τετραχῶς. καὶ τὸ μὲν ἕτερον καὶ ἄλλος ἐπιδέχεται ἄρθρον· τὸ δὲ ἑκάτερον καὶ ἕκαστον οὔ. πάντα δ' ὅμως πρὸς γενικὴν, ἢ κτητικῶς, ἢ διαφορικῶς· οἷον ἕκαστον τῶν ζώων ἕτερον τοῦ λίθου ἐστίν. ἐπιθετικῶς μέντοι καὶ ταῦτα ὁμοιογενῶς καὶ ὁμοιοπτώτως συντάσσεται τοῖς κυρίοις καὶ προσηγορικοῖς.

79. ἘΡΕΟΥ͂Ν ΚΛΩ͂ΣΜΑ· τὸ ἐκ τοῦ μαλλοῦ, περισπᾶται, ὁμοίως τῷ ἐρεοῦν καὶ τὸ λινοῦν. τὰ δὲ τούτων πληθυντικὰ συστέλλονται, λινὰ καὶ ἐρεά. οἱ Ἀττικοὶ δὲ περισπῶσι ὁμοίως τοῖς ἑνικοῖς,

διαφορικῶς] E coniectura edebatur διαφορητικῶς, quae vox diverso significatu usurpata esse videtur, uti ab Aristoxeno ap. Gell. 4,11. Πυθαγόρας τῶν ὀσπρίων μάλιστα τὸν κύαμον ἐδοκίμασε· λίαν κινητικόν τε γὰρ εἶναι καὶ διαφορητικόν. Vocem e Cod. a nobis restitutam Lexicis adde.

79. Similia Phav. h. v. p. 742,56., ubi male editum, Ἐρεοῦν, κλῶσμα.

ὁμοίως τῷ ἐρεοῦν] Cod. καὶ pro τῷ.

λινᾶ καὶ ἐρεᾶ· ὡς τὰ ἀργυρᾶ, καὶ χαλκᾶ, καὶ χρυσᾶ, καὶ σιδηρᾶ.

80. ἘΡΩΤΎΛΟΣ· ὑποκοριστικῶς, ὁ ἐρωτικός· καὶ οὐ κύριον. καὶ Ἴτυλος· παῖδ' ὀλοφυρομένη Ἴτυλον. παροξύνονται δὲ τὰ τοιαῦτα, οἷον ἐρωτύλος, Αἰσχύλος, Ἑρμύλος, Σιμύλος· πλὴν τοῦ Ὄξυλος, καὶ Ἴτυλος.

81. ἘΡΩΤΗΜΑΤΙΚᾺ ὈΝΌΜΑΤΑ λέγονται τὰ ἐρωτῶντα, οἷόν τίς ἐστι; ζητεῖ δὲ τὰ ἐρωτηματικὰ τὸ ὄνομα· τὰ δὲ ἐπιῤῥηματικὰ τὸ ῥῆμα· εὑρίσκονται δὲ ἐν πλείοσιν ὀνόμασι καὶ ἐπιῤῥήμασι διὰ τόνδε τὸν λόγον, ὅτι ἐν τούτοις μόνοις ἡ ἀμφιβολία δύναται γίνεσθαι τῆς οὐσίας, ἢ τῆς ποιότητος. ποιότητα δὲ λέγω κοινῶς τὰ τῇ οὐσίᾳ συμβεβηκότα, κἂν ποσότητος ὦσι, κἂν ὁτιοῦν ἕτερον. τὴν γὰρ οὐσίαν τοῦ τινὸς ὑποκειμένου ζητοῦν-

80. Multo concisiora Phav. h. v. p. 761,16. Attulit Bastius *Epist. Crit.* p. 243.

καὶ Ἴτυλο:] Fortasse ὡς Ἴτ., cum praecedentibus iungendum. Verba ipsa παῖδ' ὀλοφυρομένη Ἴτυλον ex Odyss. τ, 522. deprompta esse monuerunt Toupius *Cur. posterior. in Theocrit.* p. 444. ed. Berol. T. 2. et Bastius l. c. Ceterum Codex ubivis Ἴτυλλος. Hinc autem corrigas Arcadium de accentibus p. 56,11., ubi editur αἰσχύλος, ἑρμύλος· σεσημείωται τὸ αἴτυλος καὶ ὄγκυλος, qui iam ex lin. 25. τὸ δὲ ἄξυλος καὶ ὄξυλος κύρια ὄντα τοῖς προσηγορικοῖς κατὰ τὸν τόπον [f. κατὰ τὸν αὐτὸν τρόπον] ἠκολούθησαν emendandus fuisset. Etiam lin. 3. pag. seq. male ἴστυλος pro ἴτυλος editum.

81. Phav. h. v. p. 761,20., qui mox Σωκράτης ἢ Δημοσθένης pro Πλάτων ἢ Ἀριστοτέλης.

τες, φαμὲν, τίς κινεῖται; τίς βαδίζει; τίς διαλέγεται; πρὸς ὅπερ ἀπόκρισις, Πλάτων, ἢ Ἀριστοτέλης. ἔτι ἐρωτῶντες καὶ ζητοῦντες τὴν ποιότητα μαθεῖν, φαμὲν, ποῖος ἐκεῖνος; πρὸς ὅπερ ἀπόκρισις, σοφός· ἀγαθός· καλός· κακός. ἔτι τὴν ποσότητα ζητοῦντες, λέγομεν, πόσος ἐκεῖνος ἐστί; πρὸς ὅπερ ἀπόκρισις, μέγας, ἢ μικρός. ὁμοίως ζητοῦντες τὴν τακτικὴν ἀπαρίθμησιν, πόστος λέγομεν· πρὸς ὅπερ ἀπόκρισις, ἢ πρῶτος, ἢ δεύτερος, ἢ τρίτος. ἔτι ἐρωτῶντες καὶ ζητοῦντες μαθεῖν τινὰ ἐκ τίνος ἔθνους, ἢ πατρίδος ἐστὶ, λέγομεν, ποδαπὸς ἢ ἡμεδαπὸς ἐκεῖνος ἐστίν; πρὸς ὅπερ ἀπόκρισις Ἕλλην· ἢ βάρβαρος· ἢ Ἀθηναῖος· ἢ Θηβαῖος. ἔτι ἐρωτῶντες καὶ ζητοῦντες τὸ τῶν ἡμερῶν μέτρον, ποσταῖος, λέγομεν, οἷον ποσταῖος ἦλθέ τις Θήβηθεν εἰς Ἀθήνας; ἢ ἡ σελήνη ποσταία τυγχάνει οὖσα; εἰ δὲ καὶ τὸ τῶν ἐτῶν μέτρον ζητοῦμεν, ποσαέτης; εἰ δὲ καὶ τὸ τοῦ μεγέθους πλῆθος, ποσάκις; ὁ μείζων ἐν ἑαυτῷ τὸν ἐλάττονα ἔχει, τοσαυτάκις, πολλαπλάσιος. ἔτι ἐρωτῶντες καὶ ζητοῦντες εἰς πόσα μέρη, ἢ εἴδη

πόστος] Codex et Phav. πόσος.

ποδαπὸς ἢ ἡμεδαπὸς — ἢ βάρβαρος] Ita e Codice et Phav.; editum a Burneio ποδαπὸς ἐκεῖνος ἐστίν; πρὸς ὅπερ ἀπόκρισις εἴη, ἢ ἡμεδαπός· ἢ βάρβαρος. V. h. §. sub finem.

ἢ ἡ σελήνη] Articulum in Cod. non obvium suggerit Phav. Ut hic ἡ praecedente syllaba ῆ abreptum, ita alibi perperam enatum est, uti in Xenoph. Eph. 1, 2. κόμη ξανθὴ, ἡ πολλὴ καθειμένη, ὀλίγη πεπλεγμένη, ubi ἡ vitiosum est.

διαιρεῖται ὁτιοῦν· ἢ πόσοις ὀνόμασιν ὁτιοῦν προσαγορεύεται· ἢ πόσαις μεθοδείαις, ἢ τέχναις, ἢ τρόποις ὁτιοῦν ποιεῖται· λέγομεν, ποσαχῶς; οἷον ποσαχῶς διαιρεῖται τὸ θνητόν; ἢ ποσαχῶς ὀνομάζεται; ἢ ποσαχῶς ὁ ἁλιεὺς τοὺς ἰχθῦς ἀγρεύει; ἀπόκρισις δὲ καὶ πρὸς τοῦτο, μοναχῶς· διχῇ, ἢ δίχα, ἢ διχῶς· ἢ τριχῇ, ἢ τριχῶς· ἢ τετραχῇ, ἢ τετραχῶς· ἢ πενταχῇ, ἢ πενταχῶς, καὶ ἐφεξῆς· καὶ ἔτι τοσαυταχῶς· ὀλιγαχῶς· πολλαχῶς· πλεοναχῶς· πλεισταχῶς· ἀπειραχῶς, καὶ τὰ τοιαῦτα. ἔτι ἐρωτῶντες καὶ ζητοῦντες τὴν αἰτίαν, λέγομεν, διατί; ἱνατί; τί δήποτε; τί ποτε; τοῦ χάριν; ἢ ὅτου χάριν; ἢ τίνος ἕνεκεν; καὶ τὰ τοιαῦτα. πρὸς ὅπερ ἀπόκρισις, διότι· διὰ τόδε· ἢ χάριν τοῦδε· καὶ ἕνεκα τοῦδε. ἔτι ἐρωτῶντες καὶ ζητοῦντες τὴν οὐσίαν αὐτῆς τῆς πράξεως καὶ μιᾶς μὲν ἐκ πολλῶν ἀορίστων οὔσης, λέγομεν, τί ποιεῖ ὁ δεῖνα; πρὸς ὅπερ ἀπόκρισις, ὅτι οὐδέν· ἢ τρέχει· ἢ διαλέγεται· μιᾶς δὲ ἐκ δυοῖν ὡρισμένοιν οὔσης, φαμὲν, πότερον τρέχει, ἢ διαλέγεται; ἢ τὸ πρότερον, ἢ τὸ ὕστερον. ἔτι ἐρωτῶντες καὶ ζητοῦντες τὴν ποσότητα, λέγομεν, πόσον ἔδραμεν; πρὸς ὅπερ ἀπόκρισις, πολύ· ἢ ὀλίγον. ἔτι ἐρωτῶντες καὶ χρόνον ζητοῦντες, ἐν ᾧ γέγονέ τι ποτὲ, οἷον πότε τοῦτο ἐποίησας; πρὸς ὅπερ ἀπόκρισις, χθές· νεωστί· πρότριτα· πρώην· πέρυσι· τῆτες· καὶ ποιητικῶς, ἀρμοῖ· καὶ προταινὶ,

ἐθνικόν] Ita Cod., cuius loco e Phav. editum θνητόν.

ἀντὶ τοῦ προσφάτως· πάλαι· καὶ διὰ ὀνομάτων, πρὸ δεκὰ ἡμερῶν· μετὰ δύο μῆνας. ἔτι ἐρωτῶντες καὶ τὸν ἀριθμὸν ζητοῦντες, ὁσάκις, καὶ ποσάκις φαμέν. πρὸς ὅπερ ἀπόκρισις, ἅπαξ· δίς· τρίς· τετράκις· πεντάκις· τοσαυτάκις· ὀλιγάκις· πλεονάκις· πολλάκις· πλειστάκις. ἔτι ἐρωτῶντες καὶ ζητοῦντες οὐ τὴν ποιότητα, ἀλλὰ τὸν τόπον, ἐν ᾧ τι γίνεται, τριχῶς ποιούμεθα τὴν ἐρώτησιν, ποῦ, ἢ πόθι; καὶ ποῖ, ἢ πόσε; καὶ πόθεν; ὧν τὸ μὲν ποῦ, ἢ πόθι μονὴν καὶ στάσιν δηλοῖ, οἷον ποῦ ἐστὶν ὁ δεῖνα; ἢ ποῦ κεῖται, ἢ κάθηται; πρὸς ὅπερ ἐπιῤῥηματικῶς ἡ ἀπόκρισις οὕτως, ἐνταῦθα· ἐκεῖ· οἴκοι· πολλαχοῦ. κατὰ μόνην δὲ δοτικὴν οὕτως, Ἀθήνῃσι, Θήβῃσιν. ὡς ἐπιτοπλεῖστον δὲ κατὰ δοτικὴν σὺν τῇ ἐν προθέσει, οἷον ἐν τῇ πόλει· ἐν τῇ ἀγορᾷ· ἐν τῇ Ἑλλάδι· ἐν τῷ ἀγρῷ. τὸ πῇ καὶ πόσε, καὶ πόθεν, κίνησιν σημαίνει. ἀλλὰ τὸ μὲν, τὴν εἰς τόπον· τὸ δὲ, τὴν ἐκ τόπου, οἷον ἐρωτώμενοι πῇ, ἢ πόσε βαδίζει; ἔστι μὲν ὅτε καὶ ἐπιῤῥηματικῶς ἀποκρίνασθαι, δεῦρο· ἐκεῖσε· οἴκαδε· Ἀθήναζε· Θήβαζε. πολλαχοῦ, πολλαχόσε· πάντῃ, παντόσε· πανταχῇ, πανταχόσε· οὐδαμῇ, οὐδαμόσε· ὡς ἐπιτοπλεῖστον δὲ κατὰ αἰτιατικὴν, σὺν τῇ πρὸς προθέσει, οἷον πρὸς τὸν βασιλέα· πρὸς τὴν πόλιν. ἔτι

πεντάκις· τοσαυτάκις] In Ed. interponuntur καὶ ἐφεξῆς· ἔτι τοσάκις, e Phav., credo, addita Codex, ut edidimus: idem mox cum Phav. Ἀθήνασι, Θήβασι.

ἐρωτώμενοι, πόθεν ἥκει ὁ ἄνθρωπος; καὶ ἐνταῦθα ἐνίοτε διὰ ἐπιῤῥημάτων ἡ ἀπόκρισις γίνεται, οἷον ἐντεῦθεν, ἐνθένδε, ἐκεῖθεν· οὐρανόθεν· οἴκοθεν· Ἀθήνηθεν· Θήβηθεν· γῆθεν· πολλαχόθεν· πάντοθεν, πανταχόθεν· οὐδαμόθεν. καὶ ὡς ἐπιτοπλεῖστον δὲ μετὰ γενικῆς σὺν τῇ ἀπὸ προθέσει, οἷον ἀπ' Ἀθηνῶν· ἀπὸ Βυζαντίου. ἔστι δ' ὅτε καὶ σὺν τῇ ἐξ προθέσει. καὶ σημειωτέον ἐνταῦθα, ὅπως κατά τινα φυσικὴν ἀκολουθίαν αἱ τρεῖς ἐρωτήσεις τὰς τρεῖς πλαγίας πτώσεις ἐκληρώσαντο, οἷον τὸ πόθεν τὴν γενικὴν, τὸ ποῦ τὴν δοτικὴν, τὸ δὲ πῇ τὴν αἰτιατικήν. ὥσπερ ἐν ταῖς πλαγίαις πτώσεσι προηγεῖται μὲν ἡ γενικὴ, ἕπεται δὲ ἡ δοτικὴ, καὶ τρίτη τούτων ἐστὶν ἡ αἰτιατική· οὕτω κἀνταῦθα προηγεῖται τὸ πόθεν, ἕπεται δὲ τὸ ποῦ, καὶ τελευταῖον τὸ πῇ, ἀκολούθως τοῖς τρισὶ μέρεσι τοῦ χρόνου. τὸ μὲν γὰρ πόθεν, τοῦ παρεληλυθότος· ἐρωτῶντες γὰρ, πόθεν ἦλθεν ὁ ἄνθρωπος, ἢ ἔρχεται; δηλοῦμεν καταλελοιπέναι αὐτὸν τὸν τόπον, ὅθεν καὶ ἐλήλυθεν, καὶ ἔρχεται, ἢ ἐλεύσεται. τὸ δὲ ποῦ, τοῦ ἐνεστῶτος· ἐρωτῶντες γὰρ, ποῦ ἐστὶν ὁ δεῖνα, ἢ ἦν, ἢ ἔσται; τὴν ὡς κατὰ τὸ ἐνεστὸς ἐν ἐκείνῳ τῷ τόπῳ μονὴν αὐτοῦ δηλοῦμεν, ἐν ᾧ ἐστὶν, ἢ ἦν, ἢ ἔσται· τὸ δὲ πῇ καὶ πόσε, τοῦ μέλλοντος· ἐρω-

ἀπ' Ἀθηνῶν] Phav. ἀπὸ Ῥώμης. Mox ex eodem et Cod. ὁ δεῖνα pro edito ὁδῦ reposuimus.

πῇ καὶ πόσε] Cod. πότε: illud Phav. Etiam vitiose Cod. mox ἰβαδίζειν, quod e Phav. correctum.

τῶντες γὰρ, πῆ βαδίζει ὁ ἄνθρωπος, ἢ ἐβάδισεν, ἢ βαδίσει; τὴν ἐν τῷ μέλλοντι χρόνῳ εἰς ἐκεῖνον τὸν τόπον ἄφιξιν σημαίνομεν. ἔτι ἰστέον, ὅτι ἐν μὲν τῷ τίς; καὶ πότερον; τὴν οὐσίαν δηλοῦμεν· ἐν δὲ τοῖς ἄλλοις, τὰ συμβεβηκότα, οἷον ἐν μὲν τῷ ποῖος; λευκός· ἢ θερμὸς, ἢ τὰ τοιαῦτα. ἐν δὲ τῷ πηλίκος; μέγας· καὶ μικρός. ἐν δὲ τῷ πόσος; πολύς· καὶ ὀλίγος. ἐν δὲ τῷ πόστος; πρῶτος· ἢ δεύτερος· ἢ τρίτος, καὶ ἐφεξῆς. ἐν δὲ τῷ ποσαπλάσιος; ὡρισμένως μὲν, διπλάσιος· τριπλάσιος, καὶ ἐφεξῆς· ἀορίστως δὲ, πολλαπλάσιος. ἐν δὲ τῷ ποδαπὸς ἢ ἡμεδαπός; Ἕλλην· ἢ βάρβαρος· ἢ Ἀθηναῖος· ἢ Θηβαῖος ἔτι ἰστέον περὶ ἐπιῤῥημάτων, ὅτι τὰ ἐπιῤῥήματα ἀναφέρονται πρὸς τὰς ἀγνοουμένας ἐνεργείας, ἢ τὰς τούτων ποιότητας, εἰ γὰρ ἐρωτῶμεν, πῶς ἀναγινώσκει; ἀποδιδόντες αὐτὸ τὸ ἐπίῤῥημα, ὅπερ τίθεται, τόπον ἔχει ἐπὶ τῷ ῥήματι, καὶ ἀποκριθείη ἄν τις, καλῶς· ῥητορικῶς· σοφῶς. πᾶσα γὰρ κίνησις πόθεν καὶ πῆ γίνεται, ἀλλὰ ἐπεὶ περὶ τῶν ἀγνοουμένων γίνεται ἡ ἐρώτησις, ὅταν

ἐν μὲν τῷ τίς] E Cod. editum erat ἐν μὲν τὸ τίς, cuius generis idiomata sequioris aetatis etsi alibi in istiusmodi scriptoribus obvia, in Philemone equidem non deprehendi: τῷ Phav. quoque, unde etiam sequens καὶ πότερον pro vulg. ἢ πότερον adscivimus.

καὶ ἐφεξῆς] Editum temere καὶ τὰ ἐφεξῆς: articulum etiam Phav. omittit.

μὲν ἴδωμεν τὸν τόπον εἰς ὃν ἡ κίνησις γέγονε, τόδε ἐκ τίνος.

82. ἝΤΕΡΟΣ· ἐπὶ δυοῖν· ἄλλος ἐπὶ πολλῶν. Ἀττικοὶ δὲ ἀδιαφόρως χρῶνται, ὡς Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους, τρίτον δὲ ἕτερον δικαστήριον πρὸς τούτοις. οὕτω δὲ καὶ ἄλλος οὐ μόνον ἐπὶ πολλῶν, ἀλλὰ καὶ ἐπὶ δύο, καὶ ὅλως ἀδιαφόρως Ἀττικοὶ χρῶνται ἀμφοῖν, Πλάτων ἐν Πολιτείαις· ἄλλη μὲν ἡ ἀπωθοῦσα χείρ, ἑτέρα δὲ ἡ προσαγομένη. ἕτερον μετὰ γενικῆς, οἷον ἕτερον τὸ λευκὸν τοῦ μέλανος· καὶ ἕτερον τὸ ἓν τῶν δύο. ἀπὸ τούτου γίνεται καὶ τὸ πότερον ἐπὶ δύο τινῶν ἔχον τὴν πεῦσιν.

83. ἙΚΑΤΕΡΟΝ· καὶ τὰ δύο κατὰ ἕν· ἀμφότερα ὁμοῦ καὶ τὰ δύο. τὸ δὲ ἕκαστος δηλοῖ ὁμοῦ πολλούς. τὸ δὲ πᾶς οὐ κατὰ ἕνα δηλοῖ πάντας, ἀλλὰ ὁμοῦ· τὸ γὰρ πᾶς συναγωγὴ ὡς καὶ τῷ Ἀριστοτέλει δοκεῖ· λέγει γὰρ τὸ πᾶς οὐ τὸ καθόλου, ἀλλ' ὅτι καθόλου.

82. Phav. h. v. p. 776,8.

Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους] T. 1. p. 644,17. Reisk. ubi inverso verborum ordine πρὸς τούτοις δικαστήριον.

οὕτω δὲ καὶ] E Cod. et Phav. restituimus δέ. Mox καὶ ἕτερον τὸ λευκὸν e Cod. edebatur, quod auctore Phavorino correximus.

τὸ ἓν τῶν δύο] Ita Cod. et Phav. pro vulg. τὸ ἐκ τῶν δύο. Possis etiam tentare τὸ ἓν ἐκ τῶν δύο, fere ut Hesych. Πότερον· ἓν ἐκ δύο.

84. ΕΥΦΥΗΣ· ὁ δεξιὰν φύσιν ἔχων. Εὐβοεῖς εὐφυὴς παιδίον λέγουσιν, τοῖς οὐδετέροις ὀνόμασι ἀρσενικὰ καὶ θηλυκὰ ἐπίθετα, καὶ μετοχὰς ἀρσενικὰς καὶ θηλυκὰς ἐπιφέρουσιν, οἷον εὐφυὴς παιδίον· καὶ κόριον καλλίστη· καὶ γύναιον ἐρχομένη· καὶ μειράκιον λέγων· καὶ παρ' Ὁμήρῳ, τέκνον φίλε, τοῦτο δίδωμι. καὶ τοῖς θηλυκοῖς ὀνόμασιν ἀρσενικὰ συντάττουσιν ἐπίθετα, ὡς παρ' Ὁμήρῳ, κλυτὸς Ἱπποδάμεια, καὶ θερμὸς ἀϋτμὴ, καὶ

84. Edidit Villois. ad Apollon. Lex. Hom. p. 875. seq. R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 198. „Haec ipsissima verba offendi apud libellum ignoti auctoris, inter Cod. MSS. Matrit. Bib. p. 377. Titulum prae se fert, περὶ τῶν σολοικοφανῶν σχημάτων. Exemplis a Philemone citatis addas, ἀναγκαίου τροφῆς (Thucyd. I. c. 2.) et γενναῖος, στέῤῥος γυνή. Cf. Koen. in Gregor. 25." Verba τοῖς οὐδετέροις — τοῦτο δίδωμι habet Phav. v. κλυτὸς p. 1070,10. De re ipsa cf. Bastii *Epist. Crit.* p. 282.

παρ' Ὁμήρῳ, τέκνον φίλε] Odyss. ο,125.

παρ' Ὁμήρῳ, κλυτὸς Ἱπποδάμεια] Iliad. β, 742.

θερμὸς ἀϋτμή] Codicis lectionem ἀϋτὴ ita corrigendam esse pervidit Villois. l. c. collato Hymn. Hom. in Merc. 110. Phrasi θερμὸς ἀϋτμὴ etiam Hesiodus usus est, Theog. 696. Adde Hippocrat. de aëre 84., ubi Corayus T. 2. p. 241. verissime reposuit τά τε πνεύματα [τὰ] πολλὰ νότια, πλὴν ἀϋτμῆς μιῆς ἐπιχωρίης· αὕτη δὲ πνέει ἐνίοτε βίαιος καὶ χαλεπὴ, καὶ θερμὴ, ubi antea αὐτῆς, e Servini coniectura etiam αὔρης vulgabatur. In quo Hippocratis loco addo μιῆς e syllaba praecedenti ortum mihi videri. Θερμὸς autem proprie dicitur de flatu calefaciente, ut Philostrat. Imag. 2,17, p. 837. ed. Olear., quem locum hic appono e MS. auctum: ἐπιτρέψαντα τῷ Σειληνῷ τὰ ἐνταῦθα ἀπόῤῥητα. τὰ δὲ ἀπόῤῥητα, κύμα-

ἁλὸς πολιοῖο. καὶ παρ' Ἡσιόδῳ, δαϊζομένου πόληος.

85. ΕΥΓΗΡΩΣ, ΕΥΓΗΡΩ· ὁ καλὸν γῆρας ἔχων. τὰ γὰρ παρὰ τὸ γῆρας παραγόμενα ὀνόματα κατὰ ἀποβολὴν τοῦ σ κλίνονται. τὰ δὲ παρὰ τὸ κέρας, οἱ μὲν κοινοὶ διὰ τοῦ τος κλίνουσιν, οἷον μονόκερως, μονοκέρωτος· αἰγόκερως, αἰγοκέρωτος. οἱ δ' Ἀττικοὶ κατὰ ἀποβολὴν τοῦ σ καὶ ταῦτα· χρυσόκερως, χρυσόκερω. ἐν τούτοις εὕρηνται καί τινες εὐθεῖαι μονάζουσαι πλαγίας οὐκ ἔχουσαι, οἷον ἡ γυνή· τὸ ὕδωρ· ὁ μάρτυς· τὸ ἦδος, ὃ δηλοῖ τὴν ἡδονήν· τὸ ὄφελος· τὸ ἦτορ. τὸ δὲ γυνὴ ἔχει αἰτιατικὴν γυνὴν, ὥς τινες τῶν παλαιῶν ἐσημειώσαντο. ὡς δὲ πολλαὶ τῶν εὐθειῶν, ὡς εἴρηται, πλαγίας οὐκ ἔχουσιν· οὕτω καὶ πολλαὶ τῶν πλαγίων ὀρφαναί εἰσιν, ὥςπερ μητέρων τῶν εὐθειῶν. αὐτίκα ἡ τοῦ μάρτυρος γενικὴ εὐθεῖαν οὐκ ἔχει κοινὴν

βαλά τε ταῦτα ὕπτια, καὶ κρατῆρες ἀνεστραμμένοι χρυσοῖ, καὶ αὐτοὶ θερμοὶ ἔτι, καὶ τὰ τύμπανα δὲ ἀψοφητὶ κείμενα.

ἁλὸς πολιοῖο] Villoisonus l. c.: „Legitur ἁλὸς πολιοῖο Ὀδ. ε, 410. ι, 132. et Ἰλ. υ, 229. at αἰγὸς μεγάλοιο Ὀδ. ξ, 530. „Nos nihil dubitavimus de suscipienda lectione ἁλὸς pro αἰγὸς, ut e Cod. editum, quum αἰγὸς πολιοῖο hoc loco afferre nihil omnino attinuerit, contra in Schol. Venetis Iliad l. c. annotatum sit: σημειοῦνταί τινες, ὅτι ἁλὸς πολιοῖο ἔφη.

καὶ παρ' Ἡσιόδῳ, δαϊζομένου πόληος] in edito Hesiodo non reperi: lectum tamen ibi fuisse δαϊζομένοιο, veri videtur simile.

85. Partem priorem Phav. h. v. p. 782,25.

ἀνάλογον λήγουσαν εἰς ϱ̄· οὐδε γυναικός· οὐδὲ ὕδατος· οὐδὲ Φϱέατος· οὐδὲ Διός.

Z.

86. ΖΕ΄ΛΕΙΑ· ἐκ τοῦ πϱωτοτύπου Ζέλη, ὡς Πηνελόπη, Πηνελόπεια· Ὑψιπύλη, Ὑψιπύλεια· Θεσσαλονίκεια· Σεβάστεια· Κολώνεια. δοκεῖ δὲ σὺν ἄλλοις καὶ τὸ Χώνη, Χώνεια. εὕϱηται καὶ Ἐϱήμεια, ἐκ τοῦ Ἐϱήμη. ὥσπεϱ δὲ διὰ τοῦ ε̄ῑᾱ γίνεται παϱάγωγον, οὕτω καὶ διὰ τοῦ ᾱῑᾱ, ὡς δηλοῖ τὸ Φώκη, Φώκαια· καὶ νίκη, Νίκαια.

87. ΖΩΓΡΑ΄ΦΟΣ· ὁ γϱαφεὺς, ὁ ζῷα γϱάφων, οὐκ ἔχει τὸ ῑ πϱοσγεγϱαμμένον. ἔστι γὰϱ ζῷον, ζῴου· ζῳογϱάφος, καὶ ἐπειδὴ οὐδέποτε, μέταξυ τοῦ ῑ ὄντος, ἢ τοῦ ῡ, ἢ συμφώνου, κϱᾶσις γίνεται· ἀλλὰ πϱῶτον ἀποβάλλει αὐτὸ, καὶ οὕτω γίνεται ἡ κϱᾶσις, οἷον βελτίονα, βελτίω· τῷ ἐμῷ, τὠμῷ· τοῦ ἀνθϱώπου, τἀνθϱώπου· τούτου χάϱιν καὶ τὸ ζῳογϱάφος πϱῶτον ἀποβάλλει τὸ ῑ, καὶ οὕτω ποιεῖ τὴν κϱᾶσιν τοῦ ω̄ καὶ ο̄ εἰς ω̄ χωϱὶς τοῦ ῑ. ζῷον καὶ ζῴδιον πϱοσγϱάφονται. τὰ γὰϱ διὰ τοῦ

86. Idem h. v. p. 824,47.

87. Idem h. v. p. 831,4.

ζῷον καὶ ζῴδιον etc.] desunt ap. Phav.

πϱοσγϱάφονται] E Cod. editum ὑπογϱάφονται mutavimus tum propter superius πϱοσγεγϱαμμένον, cum vel maxime Phavorinum v. ζῴδιον p. 831,21. sequuti: v. autem ad §. 139.

τοῦ ῷον οὐδέτερα μονογενῆ θέλει ἔχειν τὸ ῖ, οἷον Πτῷον, ὄνομα ὄρους· ὑπερῷον. οὕτω καὶ ζῷον σὺν τῷ ῖ.

Η.

88. ῞ΗΡΥΛΛΟΣ· ὑποκεκόρισται ἐκ τοῦ Ἡρακλῆς, ὡς καὶ Βάθυλλος, ἐκ τοῦ Βαθυκλῆς, καὶ Ἀρίστυλλος, παρὰ τῷ Κωμικῷ, ἐκ τοῦ Ἀριστοκλῆς.

89. ῞ΗΡΩ· τὸν ἥρωα, Ἀττικοί· οὐχ ἥρωα δέ· καὶ ἥρως, ἐπὶ αἰτιατικῆς τῶν πληθυντικῶν, καὶ οὐχ ἥρωας. ἥρωες δὲ, οὐχ ἥρως· εἰ καὶ ἅπαξ, ὑπὸ τοῦ μέτρου βιασθεὶς, οἱ ἥρως εἶπεν ὁ Ποιητής. τῷ δὲ ἠναγκασμένῳ οὐ χρηστέον.

88. Inversis verbis laudat Phav. h. v. p. 872,26. Hinc defendas Hesychii verba, Ἥρυλλον· τὸν Ἡρακλέα, ὑποκοριστικῶς adversus Valckenarium ad Adoniaz. p. 201. B. (p. 17. ed. Berol.) Ἥρυκλον ingeniosius quam verius reponi iubentem. Cf. Etym. M. v. Ἀρίστυλλος et v. Ἥρυλλος, p. 437,25.

παρὰ τῷ Κωμικῷ] Legi hoc ἐν Τελμισεῦσι Aristophanis adnotavit Etymologus loco prius citato, quod quum Brunckius in Fragm. Arist. omiserit, designandum est. At etiam alibi obvium, in Plut. 315. et Eccles. 678. Inv.

89. Phav. h. v. p. 872,31. Thomam M. p. 424. et Phryn. Eclog. p. 62. [ibiq. Lobeck. p. 158. seq.] laudat R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 198.

ὑπὸ τȣ̃] Cod. ὑπὸ τȣ́τȣ.

οἱ ἥρως εἶπεν ὁ Ποιητής] Hunc esse Aristophanem adnotantibus Phrynicho, Thoma l. c. et Lascari Gramm. 3, 2, 7., p. 224., qui in Avibus quidem id legi addit, ubi nihil simile deprehendi, non possum satis mirari: nam mihi quidem nova res est, *poetam* κατ' ἐξοχὴν Aristophanem dici. Immo

90. ἭΤΤΟΝ· ἤγουν ἔλαττον· καὶ ἧττον, ἀντὶ τοῦ οὐδέν. Ἀριστοφάνης, ἧττόν μοι μέλει. ὁμοίως καὶ τὸ βραχὺ τίθεται ἀντὶ τοῦ οὐδὲν, οἷον βραχὺ φροντίζω σοῦ· ἀντὶ τοῦ οὐδέν.

Θ.

91. ΘΟΑΝΤΙΑ'Σ· δύο τύποι τῶν πατρωνυμικῶν εἰσὶ τῶν θηλυκῶν, ὁ εἰς ᾱς, οἷον Πελιὰς, καὶ ὁ εἰς ῑς, οἷον Πελοπίς. καὶ ταῦτα δὲ εἰς ᾱς μεταβάλλει τὴν τελευταίαν, παρεντιθεμένου τοῦ ῑ, ἵνα μὴ εἴη κακόφωνος.

K.

92. ΚΑ'ΛΛΙΜΟΣ. ἡ διὰ τοῦ ῑμ̄ο̄ς̄ παραγωγὴ ἐκ τριῶν γίνεται, οἷον σπόρος, σπόριμος· ἀγωγὴ, ἀγώγιμος· κῦδος, κύδιμος. οὕτω κάλλος, κάλ-

Eustathius Prooem. ad Iliad. p. 3. καὶ τοίνυν καὶ ποιητὴς, ὁ οὕτω γράφων, ὁμοῖος ἂν καὶ εἴη, εἴτε κωμικὸς, εἴτε ὁστισοῦν ἕτερος· ἐξόχως δὲ Ὅμηρος. ὡς γὰρ εἴτις εἴποι ὁ ῥήτωρ, ὁ Δημοσθένης εὐθὺς ὑπερεχόντως ἐνοήθη, κἂν τὸν λυρικὸν ἀκούσωμεν, εἰς τὸν Πίνδαρον ἀναγόμεθα, οὕτω καὶ τὸν ποιητὴν ἀκούσας τις μετὰ τοῦ ἄρθρου, τὸν Ὅμηρον ἐνόησε. διὰ τί; ὅτι ἐν αὐτῷ ἀρετὴ πᾶσα ποιήσεως· καὶ διότι σπερματικῶς ἀρχὴ καὶ καθηγητὴς αὐτὸς πᾶσι γέγονε ποιηταῖς τοῦ εἶναι ὅπερ λέγονται. Plura de Homeri appellatione dabit Schottus ad Procli Chrest. p. 413. ed. Gaisford.

90. Similia Phav. h. v. p. 876,30.

91. Phav. h. v. p. 905,37., apud quem male κακόφωνα.

92. Idem h. v. p. 980,42.

λιμος. γίνεται καὶ ἀπὸ ῥήματος· προςδοκῶ, προςδόκιμος.

93. ΚΑΛΩ'ΔΙΟΝ σὺν τῷ ι γράφεται. συνεξηκολούθησε γὰρ τῷ λαγῴδιον, στῴδιον, ἡ στοὰ, κῴδιον.

94. ΚΙ'ΧΛΗ, καὶ ΤΡΙ'ΓΛΗ, καὶ 'ΟΜΙ'ΧΛΗ δεῖ λέγειν. τὰ γὰρ εἰς λᾶ λήγοντα θηλυκὰ πρὸ τοῦ λ ἕτερον λ ἔχει, οἷον σκίλλα· Κίλλα· κόλλα· βδέλλα· Τελέσιλλα· τὰ δὲ εἰς η οὐκέτι, οἷον ὁμίχλη· κίχλη· τρίγλη, καὶ τὰ ὅμοια· ὥςπερ πύλη, πύλης· κρωβύλη, κρωβύλης.

95. ΚΙ'ΩΝ· ἀρσενικῶς· Ἴωνες δὲ θηλυκῶς. καὶ πολλὰ ἕτερα ἀρσενικῶς γραφόμενα, θηλυκῶς οὗτοι προφέρουσιν.

93. Idem h. v. p. 983,59. Etym. M. p. 486,16.

94. Similia Phav. v. κίχλα p. 1059,46. De re v. Sturz. ad Maittair de dial. p. 12. et Gramm. ap. Hermann. de em. gr. gr. rat. p. 322.

σκίλλα· Κίλλα] Vulgo Σκίλλα· Κίλλα. Kiddius ad Dawes. *Mus. Crit.* p. 11. nescio qua auctoritate ductus utramque vocem pro diversis eiusdem vocis σκίλλα, ab Hemsterh. ad Arist. Plut. p. 422. docte expositae formis habet. Nos contra urbem Cillam intelligimus, quum nomina propria pro exemplis usurpari hic posse, appositum Τελεσίλλα satis doceat. Nam huc frustra traxeris neque incertae fidei verba Hesychii voce κίλλαι, quae ipsa dubia est, neque Phavorini aperte corrupta p. 1059,51. Κίλλα, ζῶον πτηνὸν, corrigenda e Suida T. 2. p. 320. Κίχλα, εἶδος ὀρνέε.

95. Phav. h. v. p. 1060,27. Edidit Villois. ad Apollon. Lex. Hom. p. 875.

96. ΚΛΙΝΙ'ΔΙΟΝ. τὰ ἀπὸ τῶν εἰς ᾱ καὶ εἰς η̄ θηλυκῶν, καὶ τὰ ἀπὸ τῶν εἰς ο̄ς̄ οὐδετέρων διὰ τοῦ ῑδ̄ῑο̄ν̄ γινόμενα οὐδέτερα ὑποκοριστικὰ διὰ τοῦ ῑ γράφεται, οἷον μοῖρα, μοιρίδιον· ἑταίρα, ἑταιρίδιον· κλίνη, κλινίδιον· πύλη, πυλίδιον. πορνίδιον· ψυχίδιον· πλὴν τοῦ γῆ, γήδιον, ὃ φυλάττει τὸ η̄· ξίφος, ξιφίδιον· νῆσος, νησίδιον. τὰ δὲ ἀπὸ τῶν εἰς ῑς̄ θηλυκῶν διὰ τοῦ ε̄ω̄ς̄ κλινομένων διὰ τοῦ ε̄ῑδ̄ῑο̄ν̄ γινόμενα, διὰ τῆς εῑ διφθόγγου γράφεται, οἷον θνῆσις, θνήσεως, θνησείδιον· ἀλυσείδιον· ταξείδιον· δαμαλείδιον· κτησείδιον· καὶ ἕτερα.

96. Phav. h. v. p. 1067,10.

θνῆσις, θνήσεως, θνησείδιον] Quae omnia vide ne sint Grammaticorum inventa, qui quum pluralem τὰ θνησείδια passim apud bonos acriptores reperirent, repetendum eum a singulari diminutivo θνησείδιον putaverunt. Gerit sane quidem vox τὰ θνησείδια substantivi saepe vicem: singularem autem nuspiam offenderis. Pluralis exempla habes collecta a Beckio ad Aristoph. Av. 537., ubi Scholiastae κνίβρεια τὰ θνησείδια restituas velim pro θνησιμαῖα, auctore Schol. cod. Victor. in Thierschii *Act. Phil. Mon.* vol. 1. fasc. 3. p. 393., collato Piersono ad Herodian p 466.: quamquam de ipsa voce θνησιμαῖος dubitandum minime esse providit Lobeckii diligentia in Parerg. ad Phrynich. p. 558. Beckii exemplis adde Philostrat. Vit. Apollon. 1.1. ἐσθῆτα [quo iure et Schneiderus Lex. Gr. v. θνησείδιος et Frenzelius libello *Beiträge zu Schneiders Griechisch-Deutschem Wörterbuche* Isenaci 1810 edito p. 11. ἐσθήματα citent, scire velim, quum vulgatam duo quoque Codd. Parisini tueantur] τε ἐκ θνησειδίων, ibiq. Olear., et 8, 7, 4. Denique Porphyrius de abstinentia 4,16. p. 353. παραγγέλλεται γὰρ καὶ Ἐλευσῖνι ἀπέχεσθαι κατοικιδίων

97. ΚΝΗΜΙ'Σ· ὅπλον σκέπον τὰς κνήμας τῶν στρατιωτῶν, ὀξύνεται. τὸ δὲ εὔκνημις βαρύνεται· ὅτι τὰ εἰς ῑς θηλυκὰ ὀξύτονα, εἰ μὲν ἐν τῇ συνθέσει φυλάττει τὸ θηλυκὸν μόνον γένος, καὶ τὸν αὐτὸν τόνον φυλάσσει, οἷον σκελὶς, περισκελίς· εἰ δὲ μεταληπτὰ γίνονται καὶ ἀρσενικοῦ γένους, μεθίστανται εἰς βαρεῖαν τάσιν, οἷον ἐλπὶς, δύσελπις· τοῦτο γὰρ κοινόν ἐστι τῷ γένει. ταύτῃ τοι καὶ τὸ καταιγὶς ὀξύνεται, ὡς μονογενὲς, τὸ δὲ μελάναιγις βαρύνεται. οὕτω καὶ τὸ κληῒς, εὔκληϊς· κνημὶς, εὔκνημις· ὁμοίως καὶ ψηφὶς, πολύψηφις· ὡς τὸ, πολυψήφιδα παρ' Ἕρμον φεύγειν.

ὀρνίθων, καὶ ἰχθύων, καὶ κυάμων, ῥοιᾶς τε καὶ μήλων, καὶ ἐπίσης μεμίανται οὐ στελέχους ἅψασθαι ὡς τὸ θνησειδίων: quo loco quum de cibis tantummodo sermo sit, quibus mystae Cereris vesci interdicerentur, sponte apparet Boissonadi coniecturam μεμίανται τὸ σπελέθου ἅψασθαι ὡς τὸ θνησειδίων, ad Herodiani Epimerism. p. 120 prolatam plane concidere, etsi pro οὐ corrigendum esse τὸ recte sensisse videtur: ἅπτεσθαι autem proprie de cibis dici docet locus Clementis Alex. huc maxime faciens, Paedagog. 2. p. 149 C. ed. Sylb. ubi de Moyse: ὧν δὲ ἐφῆκεν ἅπτεσθαι, πάλιν κεκώλυκε τούτων τὰ θνηξιμαῖα, τάτε εἰδωλόθυτα, τάτε ἀποπεπνιγμένα. Adde Athen. 7. p. 308.

κτησείδιον] Phav. κτῆσις, κτήσεως, κτησείδιον. In Lexicis Graecis sine auctoritate vulgatur κτησίδιον, hinc corrigendis.

97. Phav. h v. p. 1072, 47.

ὁμοίως] E Cod. pro vulg. ὅμοιον restituimus.

πολυψήφιδα παρ' Ἕρμον φεύγειν] Quod e Cod. edebatur ὅρμον, certo mutandum erat, quum verba Oraculi sint plenius et emendatius lecti apud Herodot. 1,55. unde describo:

Ἀλλ' ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,

98. ΚΡΕ'ΑΣ· κλίνεται κρέατος· σημαίνει τὴν σάρκα. τὰ εἰς ᾱς̄ οὐδέτερα, εἰ μὲν ἔχουσι πρὸ τῦ ᾱς̄ σημεῖον φωνήεντος, ἢ τὸ ρ̄, κλίνονται· εἰ δὲ ἄλλο σύμφωνον, οὐ κλίνονται, ὡς τὸ δέπας· βρέτας. κράτων τυπτομένων, ἀντὶ τοῦ κεφαλῶν, σεσημείωται· καθὰ καὶ τὸ πάντων, καὶ δάδων.

Λ.

99. ΛΑ'ΑΣ· ὁ λίθος κλίνεται λάα. καὶ λᾶς, τοῦ λᾶ· ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ λαῖ, τῶν λῶν, καὶ λάων. καὶ Λάας ὄνομα κύριον.

100. ΛΑΓΙ'ΔΗΣ· πατρωνυμικὸν, ἐκ τοῦ λαγοῦ, ὡς ὁ τοῦ πελαργοῦ γόνος, πελαργίδης· τοῦ λύκου, λυκίδης· ἀλεκτορίδης· χηνίδης· περδικίδης.

καὶ τότε Λυδὲ ποδαβρὲ πολυψήφιδα παρ' Ἕρμον
φεύγειν· μηδὲ μένειν, μηδ' αἰδεῖσθαι κακὸς εἶναι.

98. Similia Phav. h. v. p. 1106,46 et 21.

99. Phav. h. v. p. 1143,51.

100. Idem v. λαγωὸς p. 1145,57. E Ruhnkenii schedis Valckenarius ad Adoniaz p. 402. B. (p. 248. Berol.), et hinc Huschkius *Anal. Crit.* p. 102. ediderunt.

λαγοῦ] Vulgo λαγωοῦ, quod ferri posse nullo modo persuadeor, quum Λαγίδης formari hinc minime possit: neque moror ea quae apud Suidam leguntur: Λαγίδης, ὁ τῦ λαγωοῦ. Formam a nobis restitutam, Jonibus propriam satis firmat Phrynichus Eclog. p. 78. ubi v. Lobeck. p. 186., licet eam etiam Atticis Grammaticus apud Hermann. de em. Gr. Gr. rat. p. 320. vindicet, ubi vide etiam ipsum editorem. Atque vere habes λαγὸν, λαγῦ apud Herodot. 1,123., nec non ὠκύ-

101. ΛΑΕΡΤΙΑ'ΔΗΣ· πατρωνυμικόν· τὰ γὰρ εἰς ος καθαρὰ εἰς άδης· τὰ δὲ μὴ, εἰς δης, ὡς Νηλήϊος, Νηληϊάδης· καὶ Κρόνος, Κρονίδης. ἰστέον ὅτι οὐ ποιοῦμεν ἀπὸ προσηγορικῶν πατρωνυμικά. τὰ γὰρ προσηγορικὰ κοινά εἰσι, καὶ κατὰ πολλῶν λέγονται. εἰ οὖν ἄνθρωπος, ἀνθρωπίδης, εἴπωμεν, ἐδηλώσαμέν τινα ἐκ πολλῶν γεγενῆσθαι, ὅπερ ἄτοπον· μόνον δὲ λέγουσι τὸν Πᾶνα γεγενῆσθαι ἐκ πολλῶν, ὅθεν καὶ ὠνόμασται.

102. ΛΑΟΔΑ'ΜΑΣ· ὄνομα κύριον, οὗ ἡ κλητικὴ ἄνευ τοῦ ν, ὦ Λαοδάμα· οὕτω καὶ Ἀκάμα.

103. ΛΟΧΙ'ΤΗΣ· ὁ ἐνεδρεύων. τὰ ἀπὸ τῶν εἰς ος, διὰ τοῦ ιτης γινόμενα, διὰ τοῦ ι γράφεται, οἷον τόπος, τοπίτης· λόχος, λοχίτης.

πόδας λαγὸς apud Hesiod. Scut. 302. Rem autem in Philemone conficit Etymologus M. p. 554,35. τὰ γὰρ εἰς ος ὀνόματα, εἰ μὲν καθαρὰ, διὰ τοῦ άδης ποιοῦσι τὸ πατρωνυμικὸν — εἰ δὲ μὴ καθαρὰ, διὰ τοῦ ιδης· Κρόνος· λαγὸς, Λαγίδης, quae omnia totidem verbis reddit Phavorinus v. Λαερτιάδης p. 1147,15. — In iis quae sequuntur, etsi Valckenarius l. c. adstipulante Huschkio Graece potius πελαργιδεὺς, λυκιδεὺς, ἀλεκτοριδεὺς ceteraque terminari, summa diligentia probaverit, nihil mutavi ipsum Grammaticum falli persuasus, nomina patronymica cum derivativis commutantem: patronymica enim vocum allatarum in δης desinunt, v. c. Λυκίδης exstat apud Herodot. 9,5 et Demosth. in Nicostrat. T. 2. p. 1251.

101. Phav. h. v. p. 1147,15. Etym. M. p. 554,35.

102. Phav. h. v. p. 1154,15. Λαοδάμα occurrit in Odyss. θ, 141.

103. Phav. h. v. p. 1193,23. Etym. M. p. 570,22.

104. ΛΥ'ΘΡΟΝ· *μιασμὸν σημαίνει τὸν ἐξ αἵματος, καὶ γίνεται ἀπὸ τοῦ λύω· ἀφ' οὗ καὶ λῦμα, τὸ κάθαρμα. γράφεται δὲ διὰ τοῦ θ, πρὸς διαστολὴν τοῦ λύτρου, ὃ ἐπὶ αἰχμαλώτων τίθεται.*

105. ΛΥ'ΚΑΙΑ· *σημαίνει ἆθλα ἀνακείμενα τῷ Λυκαίῳ Διῒ ἐν Ἀρκαδίᾳ· δίδοται δὲ ἐν τούτοις τρίπους χαλκοῦς. πολλοὶ δὲ ἄγονται ἀγῶνες ἐν Ἀρκαδίᾳ, Λύκαια, Κόρεια, Ἀλέαια. ἐν δὲ Θήβαις, τὰ Ἡράκλεια· τὰ δ' αὐτὰ καὶ Ἰολάεια καλεῖται. ἐν μὲν Θεσπειαῖς, Ἐρώτεια. ἐν δὲ Λεβαδείᾳ, τὰ*

104. Phav. h. v. p. 1195,34.

105. Ibid. lin. 43. Similia Schol. Pindar. Olymp. 7,154. Omissis verbis ἐν δὲ Ὠρωπῷ τὰ Ἀμφίκαια edidit Villois. ad Apollon. Lex. Hom. p. 765. seq.

Βασίλεια] E Cod. editum Ἐρώτεια βασίλεια. Priorem vocem a librario adiectam esse, scite Italus homo adnotavit, cuius notam hic integram repetendam duxi, quum verendum sit ne schedae Italae, quae bonae sane frugi sunt, patrios fines vix superarint. *Saggio d'osservazioni sopra un' opera recentemente publicata col titolo Feste della Grecia, letto nell' Academia Napoleone, da Cesare Luchesini, soc. della stessa Academia.* Lucca 1806. 4. Ibi p 27. habes: „Se si confronta il cittato frammento di Filemone cogli Scolj di Pindaro *Olymp.* 7. v. 153 e 154. si vedrà fra loro tanta somiglianza che si dovrà confessare, che il Lessicografo ha copiato lo Scoliaste. La diversità consiste nelle feste di cui si tratta. Uno degli Scoliasti al. v. 153. dice, ἐν δέ Λεβαδείᾳ τὰ καλούμενα βασίλεια, e l'altro ἐν δὲ Λεβαδείᾳ τὰ Τροφώνια; Filemone poi dice, ἐν δὲ Λεβαδείᾳ τὰ καλούμενα Ἐρώτεια βασίλεια καὶ Τροφώνεια. A me par manifesto che Filemone abbia quì giudiziosamente riunite le due testimonianze degli Scoliasti, alla qual riunione il Copista ha poi aggiunto la parola

καλούμενα Βασίλεια, καὶ Τροφώνεια. ἐν δὲ Ὠρωπῷ, τὰ Ἀμφιαράϊα. ἐν δὲ Πελλήνῃ τῆς Ἀχαΐας, ἀγὼν ὁ καλούμενος Θεοξένεια· τὸ δὲ ἆθλον ἔστι χλαῖνα. ἐν δὲ Αἰγίνῃ, τὰ Αἰάκεια.

106. ΛΩΪΟΝ· κρεῖσσον, βέλτιον. τὰ εἰς ων̄ καθαρὰ δισύλλαβα συγκριτικὰ διφθόγγῳ παραλήγεται, οἷον πλείων· μείων. τὰ δὲ οὔ· οἷον ῥᾴων. λῴων, οὔ· γίνεται δὲ παρὰ τὸ λῶ, τὸ θέλω· ὃ γὰρ νοεῖ τὶς ἑαυτῷ συμφέρον, τοῦτο καὶ θέλει. ἐκ τοῦ λῷον λωΐτερον γίνεται σὺν τῷ ὑπογεγραμμένῳ ἰῶ-

Ἐράτεια con errore facile ad accadere avendola scritta immediatamente prima. A Lebadia era l'antro di Trofonio celebre per un oraculo. Pausan. lib. 9. cap. 37. In suo onore si facevano queste feste, le quali si chiamavano anche *Reali* perchè Trofonio fù Rè di quello Stato." Quam felicissimam Itali emendationem confirmat Phavorinus.

ἐν δὲ Ὠρωπῷ, τὰ Ἀμφιαράϊα] Vulgo τὰ Ἀμφίκαια, quae festa quum aliunde non constent, contra Oropi τὰ Ἀμφιαράϊα celebrata esse satis notum sit, haec reponenda duxi, quum praesertim Scholia Pindari simili contextu τὰ Ἀμφιαράϊα exhibeant.

Θεοξένεια] Non debuisset, ut hoc obiter moneam, Jebb in Aristidis T. 1. p. 512. verbis οἱ μὲν θεῷ ξένια ἦγον respuere quod Canterus reponendum sagaciter adsequutus erat, Θεοξένια, quae festa memorat Plutarchus de Sera num. vindict. p. 551. et Pollux 1,130. Plura dabunt Valcken. ad Herod. 1,51. et Schweigh. ad Athen. 9,13.

106. Phav. h. v. p. 1200,52.

τῷ ὑπογεγραμμένῳ ἰῶτα] Nisi scriptum fuit τῷ προσγεγρ. ἰῶτα, certe iota non *subscriptum*, sed *postscriptum* intelligi debet; qui verbi, de quo v. ad §. 87 et 104., usus magnopere me offendit, cui quod comparem nihil aliud habeo

τα, ὡς τὸ ῥηΐτερον καὶ τὰ τοιαῦτα. ποιητικὸς δὲ ὁ τοιοῦτος σχηματισμὸς, ὡς καὶ χειρότερον. τὸ γὰρ κοινὸν λῷον· καὶ ῥᾷον· καὶ χεῖρον.

M.

107. ΜΑΚΑ΄ΡΤΑΤΟΣ· μακαριώτατος. ἰστέον ὅτι τὰ συγκριτικὰ σχηματίζονται ἀπὸ τῶν ληγόντων εἰς ῶν, ἢ εἰς ᾶς, ἢ εἰς ῆς, ἢ εἰς οῦς· καὶ ταῦτα ἐὰν φυλάττῃ τριγένειαν. διόπερ μεμπτέον τὸν Σώφρονα λέγοντα φωροτάτους ἀεὶ καπήλους. οὐδὲ γὰρ τὰ εἰς ω λήγοντα ῥήματα παρασχηματίζει συγκριτικὸν καὶ ὑπερθετικόν. ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες μακάρτατος. τὸ μέντοι φέρτερος, φέρτατος· βέλτερος, βέλτατος· ὕστερος, ὕστατος· οὐκ οἴονται εἶναι συγκριτικὰ, ἢ ὑπερθετικὰ, συμ-

quam analogiam verbi ὑποτάσσω, eodem plane modo usurpati in Etym. Gudiano p. 287,31. Interim tamen succurrit exemplum in Herodiani Epimerism. p. 216.: υἱὸς δὲ, τὸ τέκνον, ψιλὸν καὶ ὑπογεγραμμένον, ubi editor doctissimus in nota προσγεγρ. suadebat, quo iam non opus erit.

107. Phav. h. v. p. 1206,44. Etym. M p. 573,52. Edidit Villois ad Apollon. Lex Hom. p. 822. sq.

εἰς οῦς] Phav εἰς ῦς; Etym. εἰς ῦς, ἢ εἰς οῦς, recte, credo. Idem Etym. mox post καπήλους addit παρέχεται.

ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες μακάρτατος] Vocem reperi in inscriptione, quam primus edidit Winckelmannus *Trattato preliminare*, T. 7. p. 238. eius Opp. ed. Meyeri, unde accuratius repeti iussit Nibby in *Giornale Arcadico* Tom. 1. p. 162.

πεπτωκέναι δὲ τοῖς συγκριτικοῖς. ὁμοίως δὲ καὶ τὸ πρότερος· εἰ γὰρ ἀπὸ τοῦ πρῶτος, ὤφειλε διὰ τοῦ ω̅ μεγάλου γράφεσθαι.

108. ΜΕΊΖΟΝΑ ΠΆΝΤΩΝ οὐ δεῖ λέγειν· μέγιστα δέ. μείζονα δὲ τούτου τινός· μεῖζον γὰρ τούτου λέγομεν.

109. ΜΕΤΑΜΩ΄ΝΙΟΝ· κτητικόν. γίνεται δὲ ἀπὸ τῆς γενικῆς τῶν πληθυντικῶν· κτητικὸς τύπος εἰς ος̅ τῷ ι̅ παραληγόμενος, οἷον Ἄμμων, Ἀμμώνιος· ἀνέμων, ἀνεμώνιος· καὶ μεταμώνιος, ὁ μάταιος.

110. ΜΕΤΟΥΣΙΑΣΤΙΚΑ᾿ ὈΝΟ΄ΜΑΤΑ· τὰ μετέχοντα ἔκ τινος ὕλης, οἷον χρύσειον ἔκπωμα, ἐκ τοῦ χρυσοῦ· καὶ ἀργύρειον, καὶ σιδήρειον ὅπλον· ἃ ποιητικῶς οὕτω λέγεται. ἐνίοτε δὲ χωρὶς τοῦ ι̅, οἷον χρύσεον· καὶ ἀργύρεον· καὶ σιδήρεον. παρὰ δὲ τοῖς κοινοῖς συνῃρημένως ταῦτα πάντα λέγεται, οἷον χρυσοῦν· ἀργυροῦν· σιδηροῦν. καὶ πρὸς τὰ κύρια καὶ προσηγορικὰ σύνταξιν ἔχει, ὡς τὰ ἐπίθετα.

108. Similia Phav. h. v. p. 1224,11.
109. Idem v. μεταμώλιον p. 1243,47.
110. Idem h. v. p. 1249,6.

οἷον χρύσεον — σιδηροῦν] Palaeographiae Graecae studiosorum in gratiam ipsa Codicis contexta profero: οἷον χρύσεον καὶ ἀργύρεον καὶ σιδήρεον. παρὰ δὲ τοῖς κοινοῖς συνῃρημένως ταῦτα πάντα λέγεται οἷον χρυσοῦν ἐνιότε δὲ χωρὶς τῦ ι̅ οἷον χρύσεον, ἀγρύρεον, σιδήρεον. παρὰ δὲ τοῖς κοινοῖς συνῃρημένως οἷον χρυσοῦν, ἀργυροῦν, σιδηροῦν: quibus punctis subterductis, quae interiacerent omnia ex errore iterata esse ipse qui codicem

111. ΜΗΔΕ'ΝΕΣ καὶ 'ΟΥΔΕ'ΝΕΣ 'Αττικοὶ λέγουσι· καὶ ἐπὶ τῶν ἄλλων πτώσεων τῶν πληθυντικῶν.

112. ΜΟ'ΝΟΣ ΠΑ'ΝΤΩΝ· ἀντὶ τοῦ ἀπὸ πάντων· καὶ οἶος ἀπ' ἄλλων. μονώτατος παρὰ ποιη-

exaravit, indicare genuine voluit. Hoc librariorum more augeantur Bastiana, *Commentat. Palaeogr.* p. 856 et 737.

111. Phav h. v. p. 1253,5.

112. Id. h. v. p. 1272,9.

οἶος ἀπ' ἄλλων] Unicus qui ex Homero huc referri possit locus est Odyss ι, 192. ὅτι φαίνεται οἶον ἀπ' ἄλλων. At ne multa, sententiam promam meam, nonnullis, scio, audacem visuram. Respexisse enim Philemonem arbitror Hymn. Hom. in Merc. 193, ubi hodie quidem μοῦνος ἀπ' ἄλλων editur, at magna mea cum suspicione, olim οἶος ἀπ' ἄλλων lectum fuisse, quum praesertim μόνος ἀπό τινων praeter hunc locum alio inveniri negem, atque Homerus ne μόνος τινος quidem eo sensu, quo apud alios auctores, uti Sophocl. Oed. Col. 1250. occurrat, iungere soleat. Nam quod legitur Iliad. φ, 442.

μέμνησαι ὅσα δὴ πάθομεν κακὰ Ἴλιον ἀμφὶ
μοῦνοι νῶϊ θεῶν,

sponte apparet huc non quadrare. Neque caussa latet qui factum sit ut utraque vox commutata sit: solent enim Lexicographi veteres voci οἶος explicandae alteram ut glossam saepe apponere. Vide infra 122. Apollon Lex. Hom. v. οἶος p. 491. ed. Toll. Schol. Ven et br. ad Iliad η, 39 Zonaras Lex. T. 2 p. 1431. Arcad. de accent p. 37,13. Herodiani Epimerism. p. 216. et Orion Etym. p. 124,4., quo utroque loco, et Herodiani et Orionis, inter se collato Boissonadi de Herodiani Epimerismis sententia novo confirmatur argumento, esse eos epitomen Herodiani Alexandrini Epimerismorum, seriori demum aetate confectam. At ne quid tacere sciens videar, quo in-

ταῖς· μονώτερος δὲ οὐκέτι. ὡς παρ' Ἀριστοφάνει,

fringi mea de versu Homerico possit sententia, moneo admissa coniectura illa exoriri hiatum in caesura bucolica, cui nescio firmando an sufficiat contulisse Homericum,

οἷόν κ' ἠὲ φέροιεν Ἀχαιοὶ, ἠ κεν ἄγοιεν,

quem locum intelligo quodammodo a nostro differre. Simillimum hiatum ante οἷος habes Odyss. ξ, 450.

αὐτὸς κτήσατο οἶος, ἀποιχομένοιο ἄνακτος.

At propius huc quadrat Iliad. ϑ, 105.

ἀλλ' ἄγ' ἐμῶν ὀχέων ἐπιβήσεο, ὄφρα ἴδηαι.

Ex recentioribus poetis huc faciunt Apollonius Rhod. 4,1283.

ἄσπετον, ὅστε βοῶν κατὰ μυρία ἔκλυσεν ἔργα.

Oppian. Cyneg. 2,403.

ἀλλὰ καὶ ὀθνείοις ἐπεμήνατο ὑψόδι φίλτροις,

ubi Hermannus Orphic. p. 739 audacissime νειόθι coniecit. Quintus Smyrnaeus 3,189.

ὦ φίλοι, εἰ ἐτεὸν μοι ἀρήγετε εὐμενέοντες,

ubi Hermannus l. c. p. 743. ἀρήγοιτ'. Idem 7,599.

ἐς μόθον Ἀργείοισιν ἀταρβέα ἕνεκα πάντων,

de quo loco v. Hermann. l c p. 746. Possunt huius generis etiam plura congeri: ne multa, unum Q. Smyrnaei locum addam, 4,170.

δάκρυ κατὰ βλεφάρων ἠλείβετο ἡδὺ γοώντων,

ubi v. Herm p. 748., qui praeter alia tertiae personae ἠλείβετο aliquid tribuendum esse scite adnotavit.

μονώτατος παρὰ ποιηταῖ] Rarissimus certe huius superlativi usus est apud pedestris sermonis auctores, quorum exempla collegerunt Intpp. ad Thom. M. h. v. p 640. Bern. et ad h. l. Valckenarius inter ipsius *Epistolas a Tittmanno editas* p 170. Schol. Aristoph. Plut 83. ἰστέον δὲ ὅτι τὸ μὲν μονώτατος εὕρηται ἐν τοῖς λογοποιοῖς. Lycurgus in Leocratem p. 197. Reisk. T. 4., quem locum correctiorem hic exhibeo, quo simul novae textus recensionis hoc etiam anno a nobis prelo submittendae exstet indicium: τοιγαροῦν μονώτατοι

μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος.
μόνος ὄνομα ὑπερθετικὸν, κατὰ τὸ ἰδιάζον τὴν ὑπέρθεσιν ἔχον· ἀναιρεῖ γὰρ τὴν κοινωνίαν ἁπάντων. διὸ ἑτέραν ὑπέρθεσιν οὐ δέχεται κατὰ ἀκριβῆ λόγον· τὸ δὲ παρ' Ἀριστοφάνει πέπαικται.

N.

113. ΝΗΈΣ· οὐχ αἱ ναῦς, τὰ πλοῖα λέγομεν· σόλοικον γάρ. ἥμαρτε μέντοι Φαβωρῖνος,

ἐπώνυμοι τῆς χώρας εἰσὶν, ἰσοθεῶν τιμῶν τετυχηκότες· εἰκότως. ὑπὲρ ἧς γὰρ [ζῶντες addendum esse, recte fortasse Lobeckius ad Phrynich. p. 129. divinavit] οὕτω σφόδρα ἐσπούδαζον, δικαίως καὶ τεθνεῶτες ἐκληρονόμουν· ἀλλὰ Λεωκράτης οὔτε ζῶν, οὔτε τεθνεὼς, δικαίως ἂν μετάσχοι, μονώτατος ἂν προσηκόντως ἐξορισθείη τῆς χώρας, ἣν ἐγκαταλιπὼν τοῖς πολεμίοις ᾤχετο. Quod dedimus, subministrabant praestantissimi duo Codices Britanni, laude suo loco iusta nuncupandi.

μονώτερος δὲ οὐκέτι] Cf. infra §. 203.

Ἀριστοφάνει] Plut. 182. Ceterum citare Grammaticus etiam potuisset Equit. 351.

μόνος ὄνομα] Ab his verbis usque ad finem exstant apud Grammat. ined. (Manuelem Moschopulum, ni fallor) Cod. Paris. Reg. 1698. pone Philostrati Imag. 1,26. Quo auctore mox pro edito πεποίηται revocavi πέπαικται, quod ipse Codex tuetur, nec non firmant Phavorinus, Thomas M. p. 128. et Schol. Aristoph. Plut. 83.

113. Phrynich. Eclog. p. 68., ubi v. Lobeck. p. 170. Edidit Villois. ad Apollon. Lex. Hom. p. 668.

Φαβωρῖνος] Cf. Philostrat. Vit. Sophist. 1,8. p. 489. seq. et 1,21, 9. p. 541. Vit. Apoll. 6,12. p. 197. Diogenes Laert. Suidas h. v. T. 3. p. 572. seq. Cuius sophistae etiam aliud

Πολέμων, καὶ Σύλλας αἱ ναῦς εἰπόντες. τὰς νῆας οὐκ ἐρεῖς, ἀλλὰ τὰς ναῦς. Λολλιανὸς δὲ ὁ σοφι-

in dicendo vitium animadvertit Phrynichus Eclog. p. 69. Κορυφαιότατος: ἐνεκαλυψάμην εὑρὼν παρὰ Φαβωρίνῳ. Λέγε ἂν κορυφαῖον, quem locum produco ut novissimum editorem castigem, qui corrupta ea repeti curaverit, quae ex Phavorino p. 1095,12. ita emendari debuissent: Κορυφαιότατον ἐνεκαλυψάμην: εὑρὼν παρὰ Φ. etc.

Πολέμων] De Polemone sophista cf. Philostrat. Vit. Soph. 1,25. p. 530. Diogenes Laert. Suidas h. v. T. 3 p. 140. Ut Philemo Polemonis dicendi genus vituperat, ita etiam Phrynichus Eclog. p. 271. Lob., qui κεφαλαιωδέστατον praeter usum dixisse eum iniquius notat. Qua voce monitus non possum temperare mihi quo minus similem superlativum κεφαλαιότατον Platoni restituam, in cuius Gorgia 108. (p 494. E.) vulgatur: καὶ τὸ τούτων τοιούτων ὄντων κεφάλαιον, ὁ τῶν κιναίδων βίος οὗτος οὐ δεινὸς καὶ αἰσχρὸς καὶ ἄθλιος; quem locum tanta festinatione praeteriit J. Bekkerus ut ex eo Grammatico Antiatticista, quem ipse nuper inter Anecd Gr. T. 1. edidit, in Platone κεφαλαιότατον scribendum esse praetervidérit: citat is enim p 104 Κεφαλαιότατον: Πλάτων Γοργίᾳ. Etiam hoc velim additum, Heindorfium auctore Buttmanno recte mihi videri τὸ ante τούτων adiecisse, quod posthabuit idem Bekkerus, immemor earum turbarum, quas τὸ ante τούτων, τούτοις, τοῦτον vel τούτου in MS. parere soleat. Similitudine enim sequentis syllabae factum ut τὸ cum damno scriptoris persaepe aut excideret, aut etiam adderetur, uti in Libanii Epistola, edita in Wolfii *Anecd. Graec.* T. 3. p. 299. σὺ δ' [ita e coniectura Wolfii pro σοὶ δ'] εἴ τι τὸ τοιοῦτόν ἐστι, τίμησε καὶ ὑπερεύφραινε: lege ibi εἴ τι τοιοῦτόν ἐστι.

Σύλλας] qui fuerit, hodie non constat.

οὐκ ἐρεῖς, ἀλλὰ τὰς ναῦ.] Haec verba quae in Codice desunt, e Phav. restituit Burneius. Accusativum ναῦς vere habes in Lycurg or. in Leocrat. p. 241. Reisk. Etiam pro Accusativo ναῦς habendum esse in Thucyd. 1,7. Goellerus

τὴς ἀκούσας παρά τινος, ὅτι οὐ χρὴ αἱ ναῦς λέγειν, ἀλλὰ αἱ νῆες, ᾠήθη δεῖν λέγειν καὶ τὴν αἰτιατικὴν ὁμοίως, τὰς νῆας. οὐκ ἔχει δὲ οὕτως· ἀλλ' ἐπὶ μὲν τῆς εὐθείας δισυλλάβως, ἐπὶ δὲ τῆς αἰτιατικῆς μονοσυλλάβως.

114. ΝΟΥ͂ΣΟΣ· Ἰωνικῶς, ἀντὶ τοῦ νόσος. οὐκ ἐπὶ πάντων οἱ Ἴωνες τῷ ο̄ μικρῷ παραληγομένων ὀνομάτων τὸ ῡ προςτιθέασιν, ἀλλὰ ἐπὶ μετρίων τινῶν, ἅτινά ἐστι ταῦτα, οἷον νοῦσος· μοῦνος· οὖρεα· οὔριον· πουλύ· κούρη· Οὔλυμπος· οὐλόμενος· οὐδός.

Ξ.

115. ΞΥΓΓΕΏΡΓΟΣ· προπαροξυτόνως. σύνθετον

in Thierschii *Act. Phil. Mon.* vol. 2. fasc. 2. p. 228. scite monuit: quem Thucydidis locum Haackius quum nuper emendare volebat, denuo corrupit. Attamen νῆας in Euripidis Iph. Aul. 248. legi adnotavit R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 198.

Λολλιανὸς] Codex Λολλισμὸς, quod vitium propogavit Villoisonus. De Lolliano Sophista adeas Philostrat. Vit. Sophist. 1,23. p. 526. et Suidam h. v. T. 2. p. 456.

114. Phav. h. v. p. 1315,38. Edidit Villois. ad Apollon. Lex. Hom. p. 671.

115. Phav. h. v. p. 1324,53. Sectio haec, cui Burneius nimirum ut singula vocabula ad alphabeticum litterarum ordinem in lexico redigeret, una cum sequente locis suis pulsae §. 117mam praeire contra neglecta Codicis auctoritate

θετον γὰρ ὡς πάγκαλος· πάνσοφος. τὰ γὰρ εἰς ος ὀξύτονα συντιθέμενα βαρύνεται. Ἀριστοφάνης ἐν Πλούτῳ, τοὺς ξυγγεώργους κάλεσον.

116. ΞΥΛΑ'ΦΙΟΝ· ὑποκοριστικῶς, τὸ μικρὸν

iussit, suo loco cum sequente a nobis restituta est, ordinem litterarum in Lexico Graeco magni haud facientes, de qua re sententiam in Prolegomenis aperuimus abunde.

πάγκαλος] E Cod. editum πάγγελος, quae vox nihili est, licet ita etiam Phav. Quod reposuimus, firmat Lexicon ineditum cod. Reg. Paris. 2562. fol. 214. *verso*: Δεινὸν, καὶ ἐκ τούτου κατὰ σύνθεσιν πάνδεινον· καὶ χαλεπὸν καὶ παγχάλεπον· τίθεται δὲ ταῦτα, λέγω δὴ τὸ πάνδεινον καὶ παγχάλεπον, ἀντὶ τῶν ὑπερθετικῶν, τοῦ δεινότατον καὶ χαλεπώτατον. Ὁμοίως καὶ τὸ πάγκαλος [cod. πάγκελος]· τὸ μὲν καλὸς ἁπλοῦν, τὸ δὲ πάγκαλος ἀντὶ τοῦ κάλλιστος ὑπερθετικοῦ λαμβανόμενον, ὡς καὶ παρὰ Λουκιανῷ· οἷον ἐγὼ ἔναγχος ἔπαθον παγκάλην τινα γυναῖκα ἰδὼν, ἀντὶ τοῦ καλλίστην. Τὸ δὲ παγκάλλιστος καὶ παγκάκιστος σπανίως καὶ παρὰ ποιηταῖς, οὐ κατὰ Ἀττικὴν μέντοι συνήθειαν γράφεται. Quae Grammaticum rectissime sapientem produnt: nam παγκαίνιστος est Aeschyli Agam. 960 Pors. Quae mox de significatione Superlativi illis compositis insita Grammaticus tradit, etiam recte monita esse videntur et possunt inservire, ut ubi πάνυ Adiectivo potius apponatur accuratius patefiat. Comprobatum hoc praeceptum egregie habes in Platonis loco de legg. 8. p. 829. A. τοῖς εὐδαιμόνως ζῶσιν ὑπάρχειν ἀνάγκη πρῶτον τὸ μήτε αὐτοὺς ἀδικεῖν μήτε ὑφ᾽ ἑτέρων αὐτοὺς ἀδικεῖσθαι· τούτοιν δὲ τὸ μὲν οὐ πάνυ χαλεπὸν, τοῦ δὲ μὴ ἀδικεῖσθαι κτήσασθαι δύναμιν παγχάλεπον, καὶ οὐκ ἔστιν αὐτὸ τελέως σχεῖν ἄλλως ἢ τελέως γενόμενον ἀγαθόν. Quare Schneiderum indico in Xenoph. Anab. 5, 2,20. πάνυ χαλεπὸν ex Etonensi libro pro παγχαλεπὸν, et 7, 5,26. πάνυ χαλεπῶς pro lectione codd. Paris. et Etonens. παγχαλεπῶς recte suscepisse.

Ἀριστοφάνης ἐν Πλούτῳ] v. 223.

116. Phav. p. 1325,22. Ξυλύφιον, τὸ μικρὸν ξύλον, καὶ ξυ-

ξυλάριον· καὶ ξυλήφιον. δοκιμώτερον δὲ τὸ ξυλήριον.

117. ΞΗΡΌΝ· παρὰ τὸ ξῶ ῥῆμα, ἀπὸ μεταφορᾶς τῆς ὕλης τῶν ξύλων· ἢ παρὰ τὸ ἔξυσται, ξυρὸν γίνεται, καὶ κατὰ τροπὴν τοῦ ῡ εἰς ῆ ξηρόν. οὕτω Φιλόξενος.

O.

118. ΟἸΔΙΠΟΥΣ· ἐκ τοῦ οἰδῶ, οἰδήσω, οἰδησίπους· καὶ Οἰδίπους, διὰ τοῦ ῑ. τὰ γὰρ ἀπὸ

λύφιον ὑποκοριστικῶς· δοκιμώτερον δὲ τὸ ξυλήριον καὶ ξυλάριον. Etym. M. p. 611,22. Ξυλήφιον, ὑποκοριστικῶς· δοκιμώτερον δὲ τὸ ξυλήριον καὶ ξυλάριον. In Phav. priori loco ξυλήφιον, nisi ξυλάφιον apparet scriptum fuisse. Nihil tamen in Philemone mutavi, etsi ipsa vox ξυλάφιον in Lexicis frustra quaeratur. Ξυλάριον exstat ap. Grammat. in Bekkeri *Anecd. Graec.* T. 2. p. 857., ξυλήριον auctores laudati firmant, quibus adde Scholiastam Clementis Alexandrini e codice Parisino infra ad §. 172. edendum. Denique de voce ξυλήφιον, quam in Eustathii Commentariis Homericis saepius me legisse memini, vide Bastii *Epist. Crit.* p. 195. et Lobeck. ad Sophocl. Aiac. p. 350. Recurrit apud Zonar. Lex. h. v. T. 2. p. 1419.

117. Phav. h. v. p. 1324,34. Edidit Villois. ad Apollon. Lex. Hom. p. LXVIII.

Φιλόξενος] Confidenter vulgatam Φίλων commutavi, quod quibus de caussis factum sit, in Prolegomenis fuse explanatum est. Servat quidem Φίλων Zonaras Lex. T. 2. p. 1417. simili contextu, nec non Phavorinus: at uterque ingenti cum suspicione, ne corruptelam passi sint, quum praesertim Phavorinus paucis ante versibus v. ξέστης etiam Φίλων praebeat, ubi Φιλόξενος legendum esse in Prolegom. demonstravi.

118. Phav. h. v. p. 1337,1., ubi Theognoti hoc fuisse

βαρυτόνων μελλόντων γινόμενα διὰ τοῦ ῑ γράφεται, ἢ διὰ τοῦ ō μικροῦ. ἐνίοτε δὲ καὶ διὰ τοῦ ε̄ ψιλοῦ, οἷον στήσω, Στησίχορος· πράξω, Πραξιφάνης· οὕτω καὶ οἰδήσω, οἰδησίπους καὶ Οἰδίπους.

119. ʽΟ ἝΤΕΡΟΣ· ἡ εὐθεῖα· καὶ Ἀττικῶς λέγεται ἅτερος, καὶ κλίνεται τοῦ ἁτέρου· Ἀττικῶς δὲ, θατέρου· ἡ δοτικὴ, θατέρῳ· ἡ αἰτιατικὴ, θάτερον. ἡ μὲν οὖν εὐθεῖα ἐν τοῖς ἀρσενικοῖς, ὁ θάτερος οὐ λέγεται· βάρβαρον γάρ. ὁμοίως οὐδὲ ἐπὶ τῶν θηλυκῶν ἡ θατέρα. ἐπὶ δὲ τῶν οὐδετέρων καὶ ἡ εὐθεῖα κατὰ συναλοιφὴν ἐκφέρεται, οἷον ἡ εὐθεῖα τὸ ἕτερον, καὶ Ἀττικῶς θάτερον. καὶ κλίνεται θατέρου, θατέρῳ, θάτερον.

120. ΟἽΗ καὶ ΜΊΑ ἰσοδύναμα, καὶ πολλαχοῦ ταὐτὸν δύναται. οἷος ἀπ' ἄλλων· μόνος ἀπὸ πολλῶν.

praeceptum de v. Οἰδίπους adnotatur, idemque Etym. M. p. 615,57. et Zonara T. 2. p. 1427. tradentibus. Praeter Codicis autem fidem in Ed. Angl. huic sectioni sequens praecedit: nos cur Codicem potius sequendum putaverimus, in Prolegomenis declaravimus. Ceterum de Oedipi nominis origine cf. Schol. Eurip. Phoen. 27. et ad h. l. Valcken.

119. Phav. h. v. p. 1334,44.

120. Priora idem h. v. p. 1338,4. Nimirum derivant Grammatici οἷος ab antiqua forma ἴος, cuius femininum in obliquis casibus cum μία concinat. Vid. Zonaram v. οἷος T. 2. p. 1431. et Orion. Etym. p. 124,4.

οἷος ἀπ' ἄλλων· μόνος ἀπὸ πολλῶν] Quas formulas esse distinguendas tradit Scholiasta Apollon. Rhod. 3,1169.

121. ΟἿΟΝ· ὁποῖον. καὶ ὡσανεὶ, ὃ λέγεται καὶ οἱονεί. καὶ θαυμαστικόν· καὶ σχετλιαστικόν· οἷον ἔπαθον. καὶ οἷον ἀντὶ τοῦ πῶς, καὶ ἀντὶ τοῦ καθὰ λαμβάνεται. καὶ μετὰ πληθυντικοῦ, οἷον ἐν πόλει εἰσὶν οἱ στρατιῶται. καὶ οἷον ἔτυχεν, καὶ ὁποῖον ἐγένετο.

122. ὌΪΣ· τὸ πρόβατον, κλίνεται οἰός. καὶ ὀξυτονεῖται, ἵνα μὴ συνεκδραμῇ τῷ οἶος, ὁ μόνος. οἶς δὲ μονοσυλλάβως οὐδέποτε εἶπεν ὁ Ποιητὴς, ἀλλὰ διαλελυμένως ὄϊς. ἀλλὰ καὶ τὰς πλαγίους δὲ διαλύει, εἰ μὴ μέτρον κωλύει, ὡς ἐν τῷ οἰὸς ἀώτῳ. καὶ ἔστιν ἀναλογώτερον τὸ δισύλλαβον. οὐδὲ γὰρ ἔστιν ἄλλο τοιοῦτον, εἰ μὴ παρ' Ἀττικοῖς· αὐτό τε καὶ τὸ φθοῖς.

121. Phav. h. v. p. 1344,13.

καὶ θαυμαστικόν] Eumathius de amor. Ismen. 4. p. 128. ed. Lips. καὶ τὴν σύριγγα ποιμενικῶς ἁρμοσάμενος, ἐπιτόκιον οἷον ᾄδει, καὶ οἷον καταδυσωπεῖ τὸν Πᾶνα τὰς αἶγας πυκνᾶς εὐτοκεῖν: quo loco prius οἷον statim intelligitur e versu seq. illic immigrasse, ac re vera omittitur in Cod. Paris. Reg. 2914. Posterius recte habere censebis collato Eumathii loquendi genere, uti 10. p. 444. 3. p. 102. καὶ οἷον ὑπεραγαργάλισε, ubi idem Cod. Parisinus pro οἷον exhibet λίαν, quod glossam sane sapit. Eodem modo Philostratus Imag. 2,17. p. 835. καὶ οἷον ἔμπνους.

οἷον ἐν πόλει εἰσὶν οἱ στρατιῶται] Phav. οἷον εἰσὶν ἐν πόλει οἱ στ., insuper adnotans, e Chrysostomo hunc locum laudari.

122. Phav. h. v. p. 1344,52. Similia Etym. M. p. 620,23.

οἰὸς ἀώτῳ] Odyss. α, 443.

123. ʼΟΛΙʹΓΟΣ καὶ ΠΟΛΥʹΣ· ἐναντία. τοῖν δυοῖν δὲ τούτοιν ὀνομάτοιν ἐναντίοιν ὄντοιν, ὁποτέρῳ ἂν αὐτῷ προσέλθῃ τὸ οὐ ἀποφατικὸν ἐπίῤῥημα ταὐτὸν τῷ ἑτέρῳ γίνεται. τό τε γὰρ οὐ πολὺς ταὐτόν ἐστι τῷ ὀλίγος· καὶ τὸ οὐκ ὀλίγος, τῷ πολύς.

124. ʽΟΠΟΓΟΣ, ʽΟΠΟʹΤΕΡΟΣ, ʽΟΣΤΙʹΣ, ʽΟΤΙΣ ἐγκλινόμενα, μὴ δηλοῦντα ὡρισμένως οὐδὲν, καὶ διὰ τοῦτο ἀόριστα προσαγορευόμενα, οὐ συντάσσεται ἄρθροις· τὸ δὲ ἐν τούτοις ἀρκτικὸν οὐκ ἄρθρον, ἀλλὰ λέξεως μέρος.

125. ʽΟΠΟʹΤΕΡΟΣ· τὸ ἐρωτηματικὸν πότερος· καὶ τὸ ἀναφορικὸν, πλεονασμῷ τοῦ ο̄, ὁπότερος.

126. ʼΟΡΕΣΚΩΪΟΣ ΘΗʹΡ· ὁ ἐν ὄρεσι διαιτώμενος. παράγεται ἀπὸ τοῦ κείω, ὃ σημαίνει τὸ κοιμῶμαι, ὀρεσίκοιος· καὶ συγκοπῇ, καὶ τροπῇ τοῦ

123. Phav. h. v. p. 1350,24., quo duce ἀποφατικὸν pro vulg. ἀποφαντικὸν correxi.

124. Id. h. v. p. 1369,50.

125. Ibid. lin. 58. Etym. M. p. 628,35.

126. Phav. h. v. p. 1374,9. Priora usque ad προσγεγραμμένον Etym. M. p. 630,12. Pertinet glossa ad Iliad, α, 268. φηρσὶν ὀρεσκῴοισι, ubi vide intpp. Graecos. Alibi testudinis epitheton est ὀρεσκῷος, in Hymn. Hom. in Merc. 41.

ἔνθ' ἀναπηλήσας γλυφάνῳ πολιοῖο σιδήρου
αἰῶν' ἐξετόρησεν ὀρεσκῴοιο χελώνης,

quo loco in ἀναπηλήσας mendum latere editores unanime consentiunt, in levando eo minus felices. Vide an nobis melius cesserit, ἔνθα δὲ γηθήσας γλυφ. legendum suadentibus: ipse Mercurius supra v. 29. ἀθρήσας ἐγέλασσε.

ο εἰς ω μέγα, ὀρεσκῷος· καὶ μένει τὸ ι προσγεγραμμένον. τὰ γὰρ διὰ τοῦ ῶος, ὑπὲρ δύο συλλαβὰς, ἔχει τὸ ι κατὰ τὴν παραλήγουσαν, καὶ προπερισπᾶται, οἷον Ἀχελῷος· Μινῷος· πατρῷος· ἡρῷος· ὀρεσκῷος· οἷς συνεξηκολέθησε καὶ τὸ ἀθῷος· χωρὶς τοῦ κολωὸς, ὃ σημαίνει τὸν θόρυβον.

127. ὈΡΙΒΡΕΜΈΤΗΣ· ὁ ἐν τῷ ὄρει ἠχῶν. ἰστέον δ' ὅτι τὰ παρὰ τὸ ὄρος συγκείμενα, εἰ μὲν ἔχουσι τὴν πρὸ τοῦ ρι συλλαβὴν διὰ δύο συμφώνων, διὰ τοῦ ι γράφεται, οἷον ὀρίβρομος· ὀριβρεμέτης, καὶ τὰ ὅμοια. εἰ δὲ δι' ἑνὸς συμφώνε, εἴτε διὰ δύο φωνηέντων, εἴτε δι' ἑνὸς, διὰ τῆς ει διφθόγγου, οἷον ὀρειβάσιος· ὀρείχαλκος· ὀρείαυλος, καὶ τὰ ὅμοια.

128. ὍΣΤΙΣ καὶ ἭΤΙΣ καὶ ὍΤΙ μετὰ τοῦ ἂν τιθέμενα, ἐπὶ ὑποτακτικοῦ καὶ εὐκτικοῦ τίθενται. Ἀριστείδης· οἶμαι ἅπαντας ἂν ὑμᾶς συμφῆσαι, ὥσπερ τῶν ἐν δικαστηρίοις λόγων τούτους ἀληθεστάτους ἡγεῖσθαι, ὧν ἂν γνωριμώτατοι μάρτυρες εἶεν, οὕτω καὶ τῶν εἰς συμβουλὴν ἡκόντων, οἷς ἂν πλεῖστοι καὶ σπουδαιότατοι μάρτυρες ὦσι, τέτοις χρῆναι πιστεύειν. ὡσαύτως ἔχει καὶ τὸ τὶς ἄν. ὅστις ἀεί ποτε γενικῇ συντάσσεται, οἷον ὅστις

χωρὶς τῦ κολωὸς] Hoc Philoxeni esse praeceptum, colligitur e Schol. Venet. et br. ad Iliad. α, 575.

127. Phav. h. v. p. 1376,8., qui mox ὀρίδρομος pro ὀρίβρομος.

128. Id. h. v. p. 1385,5., quo auctore correximus ἔχει pro vulg. ἔχοι.

τῶν ἀνθρώπων. ὅστις ἀόριστόν ἐστι. τὸ δὲ ὅστις ποτὲ ἀμφίβολος λόγος.

129. ΌΣΤΙΣΟΥ͂Ν· ὄνομα. κλίνεται δὲ οὕτως, ὁστισοῦν, οὑτινοσοῦν, ᾡτινιοῦν, ὁντιναοῦν καὶ ὁντινοῦν. τὸ θηλυκὸν, ἡτισοῦν, ἡστινοσοῦν, ᾑτινιοῦν, ἡντιναοῦν καὶ ἡντινοῦν. τὸ δὲ οὐδέτερον, ὁτιοῦν, οὑτινοσοῦν, ᾡτινιοῦν, ὁτιοῦν. ἐπειδὴ τοίνυν λαμβάνεται τὸ ὅτου ἀντὶ τοῦ οὗτινος, καὶ ὅτῳ ἀντὶ τοῦ ᾧτινι, λέγε οὖν ὁτουοῦν, καὶ ὁτῳοῦν, ἀντὶ τοῦ οὑτινοσοῦν, καὶ ᾡτινιοῦν.

130. ὍΣΑ. τὸ μόριον τοῦτο, ἀόριστον ὂν, ἄπειρον πλῆθος δηλοῖ ἀριθμοῦ. Ἀριστοφάνης·

ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν.

ὅσα Ἀττικῶς λέγεται ἀντὶ τοῦ ὅσον. φιλοῦσι γὰρ οἱ Ἀττικοὶ πληθυντικοῖς ἀντὶ ἑνικῶν χρῆσθαι, οἷον ὅσα κἀμὲ εἰδέναι ἀντὶ τοῦ ὅσον λαμβάνεται.

131. ὍΣΙΟΣ· ὁ δίκαια ποιῶν· τὸ σῑ ἰῶτα. τὰ γὰρ ἀπὸ μελλόντων, διὰ τοῦ ῑος γινόμενα, διὰ τοῦ ἰῶτα γράφεται, οἷον ἅζω, ἅσω, ὅσιος· ἀσπάζω, ἀσπάσω, ἀσπάσιος· ἀλέξω, ἀλέξιος· κτήσω, κτήσιος· μνήσω, μνήσιος. τὸ δὲ δεξιὸς, καὶ ἀνεψιὸς, κατὰ τὸν τόνον μόνον διήλλαξεν.

132. ὌΣΣΕ· δυϊκόν. δηλοῖ δὲ τοὺς ὀφθαλ-

129. Phav. h. v. p. 1385,14.

130. Ibid. lin. 20. Aristophanis loco, qui est initio Acharnensium, edebatur δέδιγμαι.

131. Similia ibid. lin. 41.

132. Idem h. v. p. 1387,6. κάκ' ὀσσόμενος est Iliad. α, 105.

μούς. γίνεται ἀπὸ τοῦ ὄσσω, τὸ βλέπω· ἐξ οὗ καὶ τὸ κάκ' ὀσσόμενος, ἀντὶ τοῦ κακῶς περιβλεπόμενος. κλίνεται μὲν κατά τινας ἀπὸ τοῦ ὄσσος οὐδετέρου ὀνόματος, ὡς βέλος· οὗ ἑνικὴ δοτικὴ εὕρηται ἐν χρήσει, τῷ ὄσσει, ὡς τῷ βέλει· καὶ ἀκολούθως εὐθεῖα δυϊκῶν ὄσσεε, καὶ κατὰ συγκοπὴν, ἢ ἀποκοπὴν, ὄσσε. ἕτεροι δέ φασιν ἀπὸ τοῦ ὄσσος ἀρσενικοῦ ὡς πλόος. εὐθεῖα δυϊκῶν ὄσσω, ὡς πλόω, καὶ κατὰ μεταπλασμὸν, ὄσσε, ἤγουν κατὰ μεταποίησιν τοῦ ω̄ τελικοῦ τῆς εὐθείας τῶν δυϊκῶν εἰς τὸ ε̄, ὅπερ καὶ αὐτὸ τελικόν ἐστι τῆς τῶν δυϊκῶν εὐθείας.

133. ὈΣΤΡΑΚΙ'ΝΔΑ. τοῦτο ὄνομα παιδιᾶς ἐστί. παρὰ δὲ τῷ Ἀριστοφάνει, θέλει εἰπεῖν, θελήσεις αὐτὸν ἐξοστρακισθῆναι. ὁ δὲ τρόπος τοιοῦτος τοῦ ἐξοστρακισμοῦ. προεχειροτόνει ὁ δῆμος ὄστρακον εἰςφέρων, εἶτα ἐφράττετο σανίσιν ἡ ἀγο-

133. Ibid. lin. 48. Schol. Aristoph. Equit. 851. De ludo ipso conferri iubet Pollucem 9,3. R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 198. Eodem modo formatum alius ludi nomen habes Φινίνδα, memoratum Clementi Alex. Paedag. 3,10. p. 242. C. ed. Sylb., unde Lexicis accedat.

Ἀριστοφάνει] Equit. 855. Inv.

ἐν δίκα] Cod. et Phav. ἔνδεκα: editum Schol. Arist. l. c. Mox nomen Κίμων, quod in Cod. et in Phav. plane omittitur, restituit Anglus editor, adnuente Schol. Arist. l. c., qui etiam mox ἐπ' αὐτῷ recte, ut in Philemone hodie legitur, Codice ἀπ' αὐτῷ ferente.

χρόνος] Phav. χρόνοις: editum servant Schol. Arist. et Suidas T. 2. p. 723. Kust.

ρά, καὶ κατελείποντο εἴσοδοι δέκα, δι' ὧν εἰσιόντες κατὰ φυλὰς ἐτίθεσαν ὄστρακον, ἐντίθεντες τὴν ἐπιγραφήν. ἐπεστάτουν δὲ οἵ τε θ̄ ἄρχοντες καὶ ἡ βουλή. ἀριθμηθέντων δὲ ὧν πλεῖστα γένοιτο, καὶ μὴ ἐλάττω ἑξακισχιλίων, τοῦτον ἔδει ἐν δέκα ἡμέραις μεταστῆναι τῆς πόλεως· εἰ δὲ μὴ γένοιτο ἑξακισχίλια, οὐ μεθίστατο. οὐ μόνον δὲ οἱ Ἀθηναῖοι ὠστρακοφόρουν· ἀλλὰ καὶ Ἀργεῖοι, καὶ Μιλήσιοι, καὶ Μεγαρεῖς. σχεδὸν δὲ οἱ χαριέστατοι πάντες ὠστρακίσθησαν. Ἀριστείδης· Κίμων, τῇ ἀδελφῇ Ἐλπινίκῃ συγκοιμηθεὶς, καὶ διαβληθεὶς πρὸς τοὺς πολίτας· Θεμιστοκλῆς· Θουκυδίδης· Ἀλκιβίαδης· μέχρι δὲ Ὑπερβόλου ὁ ὀστρακισμὸς προελθὼν, ἐπ' αὐτοῦ κατελύθη, μὴ ὑπακούσαντος τῷ νόμῳ διὰ τὴν ἀσθένειαν τὴν γεγενημένην τοῖς Ἀθηναίων πράγμασιν ὕστερον. παροξῦναι δὲ δεῖ τὸ ὀστρακίνδα, καὶ πάντα τὰ τοιαῦτα ἐπὶ παιδιᾶς τασσόμενα. διαφέρει δὲ φυγῆς ὀστρακισμὸς, ὅτι τῶν μὲν φυγῆς ἁλόντων αἱ οὐσίαι δημεύονται· τῶν δὲ ὀστρακισμῷ ἀποστάντων οὐκ ἀφαιρεῖται τὰ χρήματα ὁ δῆμος. καὶ τοῖς μὲν χρόνος ἐνδείκνυται καὶ τόπος· οἱ δὲ φεύγοντες οὐδέτερον τούτων ἔχουσιν.

134. ΟΥ͂ΔΑΣ· τὸ ἔδαφος, ἄκλιτόν ἐστι. τοῦ δὲ οὖδος εὐθεῖα μὲν οὐχ εὕρηται παρὰ τῷ Ποιητῇ·

134. Phav. h. v. p. 1391,50.

ἡ δὲ δοτικὴ αὐτοῦ πολλαχοῦ, ὡς ἐν τῷ, οὔδει ἐνισκήψαντε καρήατα. ὥστε τὸ μὲν οὖδας οὐκ ἔχει πλαγίας· τὸ δὲ οὔδει ὠρφάνισται οἷον μητρὸς εὐθείας, καθ' ὁμοιότητα τοῦ γυνὴ, ὅπερ οὐδ' αὐτὸ διοδεύει ταῖς πτώσεσι, καὶ τοῦ γυναικὸς, οὗπερ εὐθεῖα οὐ πρόσκειται.

135. ΟΥ'ΔΕΕ'Ν· ἀντὶ τοῦ οὐδὲν, 'Αττικῶν ἐστίν. οὐδὲν καὶ οὐθέν. τὴν μετάθεσιν τοῦ δ¯ καὶ τοῦ θ¯ τῶν Αἰολέων εἶναί φασιν. ὅθεν ἐξουδενῶ, ἐξουθενῶ· μήδω, μήθω· δάσος, θάσος.

136. ΟΥ'ΔΕΙ'Σ· οὐδοςτιςοῦν. μηδείς· μηδοςτιςοῦν· οὐδὲν, οὐδοτιοῦν· καὶ μηδὲν, μηδοτιοῦν. οὐθὲν, οὐθοτιοῦν· καὶ μηθὲν, μηθοτιοῦν· παρὰ τοῖς λογογράφοις. παρὰ δὲ ποιηταῖς οὔτις, καὶ μήτις, ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ· καὶ οὔτι, μήτι, ἐπὶ οὐδετέρου.

Π.

137. ΠΑΙΔΑ'ΡΙΟΝ· τὸ μικρὸν παιδίον, ὑποκοριστικῶς. ᾧπερ οὐ μόνον ἐπὶ τῶν ἀῤῥένων κέχρηνται οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ τῶν παρθένων. παιδάρια, καὶ τὰ μείζονα, καὶ τὰ ἀρτίως γεγονότα.

οὔδει ἐνισκήψαντε καρήατα] Iliad. ρ, 437. Phav. ἐνισκίμψαντε.

135 Phav. h. p. 1392. 4. 18.

136. Ibid. lin. 4., qui cum Cod. οὐδοςτιοῦν, recte tamen mox μηδοςτιςοῦν, ubi Cod. μηδοςτιοῦν.

137. Phav. h. v. p. 2408,56. 1409,12.

καὶ παιδάρια, τὰ μειράκια. καὶ παῖδες πάλαι μὲν τὰ ἀρσενικὰ καὶ θηλυκὰ τέκνα· μεταπεσούσης δὲ νῦν τῆς χρήσεως, λέγονται καὶ οἱ δοῦλοι. καὶ παιδαριώδη τὰ ἀσύνετα. καὶ παιδικὰ τὰ ἐρωτικά· τάττεται δὲ ἡ λέξις ἐπὶ θηλειῶν καὶ ἀῤῥένων. ἡ λέξις ἐρωμένων.

138. ΠΑ͂Σ· καθόλου τὶ δηλοῖ, καὶ διωρισμένον ποσόν. τὸ δὲ ὅλον ἐπὶ συνεχοῦς τινὸς ὁλότητος

καὶ παῖδες πάλαι etc.] Lexicon ined. cod. Reg. Paris. 2562. fol. 232. *verso*: Παῖς ὁ υἱὸς κἂν ᾖ γέρων· καὶ ὁ τὴν παιδικὴν ἔχων ἡλικίαν ἀπὸ τοῦ τετραετοῦς [num τετάρτου ἔτους?] μέχρι τοῦ τεσσαρεσκαιδεκάτου, ὃν δὴ καὶ παιδίον φαμέν. Παῖς καὶ ἡ ἡλικία ἡ παιδικὴ, ὡς τὸ ἐκ παιδὸς ἐργάζομαι τόδε, ἀντὶ τοῦ ἐκ παιδικῆς ἡλικίας. Καὶ γράφεται ἀρσενικῶς καὶ θηλυκῶς ἐπὶ τοῦ τὴν παιδικὴν ἡλικίαν ἔχοντος. Παῖς καὶ ὁ δοῦλος ἀρσενικῶς μόνον, οὐκέτι δὲ καὶ θηλυκῶς. γράφεται δὲ ἀντὶ τούτου [Cod. τοῦ], παιδίσκη. Τὰ δὲ γύναια γράφεται πληθυντικῶς καὶ δουλάρια· οἱ δὲ ἄῤῥενες παιδάρια.

ἐπὶ θηλειῶν] Huno rariorem vocis usum exemplis adstruxit Boissonad. ad Philostrat. Heroic. p. 410. Adde Xenoph. Cyr. 8, 5,28. In seq. ἡ λέξις ἐρωμένων videtur ἡ λέξις e superiori loco male additum et ἐρωμένων proxime cum ἀῤῥένων iungendum esse: cui coniecturae fidem faciunt Phavorinus p. 1409,20. Παιδικά, ἐπὶ θηλειῶν καὶ ἀῤῥένων ἐρωμένων, et Lexici ined. SGM. fragmentum e Cod. Reg. Paris. 345. editum in Bibl. Coislin. p. 474. editum: quibus denique Suidae auctoritas accedit v. Παιδικά T. 3. p. 66., in cuius loco θηλυκῶν perperam pro θηλειῶν edi obiter adiicio: ea enim est formula Grammaticis maxime familiaris ἐπὶ θηλειῶν καὶ ἀῤῥένων, quae verba etiam apud alios auctores iuncta leguntur, ut ap. Xenoph. Oecon. 7, 18. 26. Lucian. Muscae encom. 12. T. 3. p. 99. Reitz.

138. Phav. h. v. p. 1455,16.

τίθεται. λαμβάνεται μέντοι καὶ αὐτό ποτε ἀντὶ τοῦ πᾶς, ὡς ὅτε τις εἴπῃ, ὅλον τὸ πλῆθος· καὶ ὅλος ὁ στράτος. τὸ δ' αὐτὸ εὕρηται καὶ παρ' Ὁμήρῳ, ἐν τῷ, πᾶν δ' ὑπερθερμάνθη ξίφος αἵματι· καὶ, πᾶν ἐξηράνθη πεδίον· καὶ, ἐγκέφαλος ἔνδον ἅπας πεπάλακτο· καὶ, ἔγχος ἐν χροῒ πᾶν κομίσαιο. καὶ ἐν ἄλλοις πολλοῖς, ἐν οἷς καὶ τὸ πᾶσαι δ' ὠΐγνυντο πύλαι.

139. ΠΑΤΡΩΪΟΝ τὸν πατρικὸν σημαίνει, καὶ ἐστὶ κτητικὸν ὄνομα. γίνεται μὲν ἐκ τῆς πατρὸς γενικῆς πατρῷος, ὁ τοῦ πατρός· ὡς παντὸς, παντοῖος. καὶ ἐκτάσει τοῦ ο̄ εἰς ω̄ πατρῷος, μένοντος ἐν προσγραφῇ τοῦ ἰῶτα. οὕτω δὲ καὶ τὸ

πᾶν δ' ὑπερθερμάνθη ξίφος αἵματι] Iliad. π, 333. υ, 476.

πᾶν ἐξηράνθη πεδίον] Iliad. φ, 345.

ἐγκέφαλος ἔνδον ἅπας πεπάλακτο] Iliad. λ, 97. μ, 185. υ, 399.

ἔγχος ἐν χροῒ πᾶν κομίσαιο] Iliad. χ, 286.

πᾶσαι δ' ὠΐγνυντο πύλαι] Iliad. β, 809. Cf. Villois. ad Apollon. Lex. Hom. p 647.

139. Phav h. v. p. 1458,58.

ἐν προσγραφῇ τοῦ ἰῶτα] Vulgo ὑπογραφῇ, quod mutavimus: illa enim verba si sincere essent, argumento inservirent certissimo, quo Philemonis aetas in extremum antiquitatis saeculum depelleretur. Nam iota, quod vulgo *subscriptum* vocant, constat olim aut prorsus omissum esse, ut factum videre licet in fragmento Euripidis fabularum vetustissimo Pompeiis nuper eruto, de quo adeas Villoisonum *Anecd. Graec.* T. 2. p. 132., aut in ipso versus ordine locum obtinuisse, ita ut potius *postscripti* sive *adscripti* nomen tulerit, *subscriptum* autem iota a veteribus plane igno-

μητρῷος γίνεται, καὶ παππῷος. ἐκφωνηθέντος δὲ τοῦ προσγεγραμμένου ῑ, γίνεται πατρώϊος· μητρώϊος· παππώϊος. οὕτω καὶ ὁ Μινῷος, Μινώϊος· καὶ τὸ λῷον, λώϊον. καὶ τὸ ὑπερῷον, ὑπερώϊον, ὅθεν τὸ ὑπερώϊθεν παρὰ τῷ Ποιητῇ.

140. ΠΑΤΡΩΝΥΜΙΚΟ'Ν "ΟΝΟΜΑ κυρίως

ratum sit. Confer Strabon. 14. p. 648. C. ed. Casaub. Marium Victorin. p. 2463,30. Apollonius Dysc. de syntax. 3. p. 211. ed. Bekker. προσιοῦσαν τοῦ ῑ γραφὴν et mox p. 270. συγγραφομένου τοῦ ῑ. Bisetus ad Aristoph. Pac. 1160. ἀρχαϊκῶς δὲ τὸ ῑ οὐχ ὑπεγράφη, ἀλλὰ παρεγράφη. Brunckius ad Apollon. Rhod. 1,934. 990. Bastius *Commentat. Palaeogr.* p. 714. Qui usus quo saeculo tandem cessaverit, accurate a nemine adhuc adnotatum reperi: mihi quidem, nisi memoria fallit, iota subscriptum in nullo codice, nisi qui saeculum XII. superaverit, se obtulit. Ita in codice quodam saec. XI. epistolas N. F. complectente Montefalconius *Palaeogr. antiq.* p. 294. 59. postscriptum iota adhuc reperisse se narrat, quo cum teste consentit quodammodo Eustathius, etiamtum voce προσγραφὴ et προσγράφεσθαι eodem sensu usus, uti p. 166,31. 173. extr. In Philemone iam hac de re quid statuendum sit, sponte apparet. Utraque enim vox et προσγραφὴ et προσγράφεσθαι quum apud eum frequentissime, contra ὑπογραφὴ et ὑπογράφεσθαι locis praeter hunc tribus tantummodo aliis reperiatur, §§. 106. 87. 251., quorum priorem huc minime pertinere ibi demonstratum sit, atque et huius paragraphi et 87. scriptura facillimo negotio e Phav. restituatur, hic τοῦ ῑ ἐν προσγραφῇ et paullo inferius προσγεγραμμένου pro ὑπογεγρ. praebente: non diu haesitavi quin etiam §. 251. προσγεγραμμένον loco ὑπογεγραμμένον substituerem.

προσγεγραμμένου] Cod. et Ed. ὑπογεγρ. v. supra.

ὑπερώϊθεν παρὰ τῷ Ποιητῇ] Odyss. α, 328.

140. Phav. h. v. p. 1459,17., qui post Ἀγαμέμνων addit

ἐστὶ τὸ ἀπὸ πατρὸς ἐσχηματισμένον. ἔχει δὲ τέσσαρας παραλήξεις, τὴν ει δίφθογγον, εἰ τὸ πρωτότυπον εἰς ευς λήγει, καὶ διὰ τοῦ εως κλίνεται, οἷον Πηλεὺς, Πηλέως, τὸ πρωτότυπον, καὶ τὸ πατρωνυμικὸν, Πηλείδης· τὸ ι, εἰ τὸ πατρωνυμικὸν λήγει εἰς ος μὴ καθαρεῦον· ὁμοίως καὶ ἐκ γενικῆς τῆς πέμπτης κλίσεως εἰς ος ληγούσης, οἷον Αἰακὸς, Αἰακίδης· Τάνταλος, Ταντταλίδης· Πρίαμος, Πριαμίδης· Ἀγαμέμνων, Ἀγαμεμνονίδης· Ἕκτωρ, Ἕκτορος, Ἑκτορίδης· Νέστωρ, Νέστορος, Νεστορίδης· Πέλοψ, Πέλοπος, Πελοπίδης· Κέκροψ, Κέκροπος, Κεκροπίδης· καὶ τὸ α, εἰ λήγει τὸ πρωτότυπον εἰς ος καθαρεῦον, οἷον ἥλιος, ἡλίου, Ἡλιάδης· Μενοίτιος, Μενοιτίου, Μενοιτιάδης· καὶ τὴν οι δίφθογγον, εἰ ἔχει τὸ πρωτότυπον τὴν λήγουσαν καὶ τὴν παραλήγουσαν διὰ δύο οο καθαρευόντων, οἷον Πάνθοος, τοῦ Πανθόου, Πανθοΐδης, καὶ κατὰ συναίρεσιν, Πανθοίδης· Λητὼ, Λητόος, Λητοΐδης. καὶ Λητοίδης· καὶ τὰ ὅμοια. χωρὶς τοῦ κυθνείδης, ὃ μόνον ἀπὸ τῶν εἰς ος διὰ τῆς ει διφθόγγου γράφεται. τὸ δὲ Παλαμήδης, καὶ Γανυμήδης, καὶ Θρασυμήδης οὐ πατρωνυμικά εἰσιν, ἀλλὰ ὀνόματα κύρια, ἀπὸ τοῦ μήδομαι συγκείμενα, τὸ βουλεύομαι· ὅθεν διὰ τοῦ η τὴν γραφὴν ἔχουσιν. ἰστέον ὅτι

Ἀγαμέμνονος. Ex Phav. mox οὐκέτι χρεία reposuimus pro vulg. οὐκ ἔστι χρεία, quae antecedentibus annecti recte non poterant.

τοῖς πατρωνυμικοῖς συντάσσεται τὰ τῶν παίδων ὀνόματα, ὅταν δύο ἀδελφοὶ ὦσιν, ἢ πλείους, οἷον Ἀτρείδης Ἀγαμέμνων. ὅταν μονογενὴς υἱὸς ἦν, οὐκέτι χρεία τῆς τοῦ κυρίου προςθήκης. πῶς κλίνεται Πηλείδης, διὰ τῆς ου. κανὼν γάρ ἐστιν, ὅτι πάντα τὰ εἰς δης λήγοντα πατρωνυμικὰ διὰ τῆς ου κλίνεται, οἷον Πηλείδης, Πηλείδου, κατὰ τὴν πρώτην κλίσιν.

141. ΠΕ΄ΛΩΡ· σημαίνει τὸ ἐξαίσιον καὶ φοβερόν. γίνεται ἐκ τοῦ ἕλωρ. τινὲς παράγουσι. ἀλλὰ πέλωρ μὲν κοινὸν τῷ γένει· ἕλωρ δὲ οὐδέτερον. δύο γὰρ μόνα εἰς ωρ οὐδέτερα, ὕδωρ καὶ ἕλωρ· ὧν τὸ μὲν διὰ τοῦ ρ, τὸ δὲ διὰ τοῦ τ κλίνεται.

142. ΠΕΡΙΛΗΠΤΙΚΑ` ᾿ΟΝΟ΄ΜΑΤΑ΄ εἰσι τὰ δι᾽ ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαίνοντα. ἑνικοῖς καὶ πληθυντικοῖς συντάσσονται ῥήμασιν, οἷον ὁ δῆμος εἶπε· καὶ ὁ δῆμος εἶπον. καίτοι πάντα τἄλλα

141. Similia idem h. v. p. 2467,28.

142. Id. h. v. p. 1483,58.

ὁ δῆμος εἶπον] Eodem modo ἡ πόλις corrupto Lycurgi or. in Leocratem loco, quo p. 236. T. 4. Reisk. vulgatur: καὶ δημοσίᾳ αὐτοὺς ἡ πόλις ἔθαψεν: e codd. duobus Britannis, qui optimae notae sunt, rescribe adstipulante etiam Aldina ab editoribus oratorum Graecorum fere neglecta, ἔθαψαν. Pari macula Herodotum nuper liberavimus *über des Sophokles Aias* p. 51. Ex insolentioribus addam exempla quaedam, quibus quae Matthiae Gr. Gr. §. 301. p. 418. collegit augeri possunt: Philostrat. Imag. 1,19. p. 692. ναῦς μαίνονται. Charito 4,1. p. 84. Lips. ὄναρ ἑώρα λῃστήριον βαρβάρων

τῶν ὀνομάτων, ἑνικῶς μὲν προφερόμενα, ἑνικοῖς συντάσσεται ῥήμασι· δυϊκῶς δὲ, δυϊκοῖς· πληθυντικῶς δὲ, πληθυντικοῖς· πλὴν τῶν Ἀττικῶν συντασσομένων ἑνικοῖς οὐδετέρων. Ἀττικοὶ γὰρ τὰς πληθυντικὰς τῶν οὐδετέρων ὀνομάτων εὐθείας ἑνικοῖς συντάσσουσιν, οἷον τὰ παιδία παίζει.

143. ΠΙ'ΣΥΝΟΣ· πεπιστευκὼς, τεθαῤῥηκώς· θηλυκὸν οὐκ ἔχει ἡ πισύνη, οὐδὲ ἡ θαρσύνη τοῦ θάρσυνος. Φασὶ δὲ καὶ, ὅτι τὰ διὰ τοῦ σύνη θηλυκὰ οὐκ ἐπιθετά εἰσι τῷ Ποιητῇ, ἀλλ' οἷον κυρίων σημαντικὰ πραγμάτων καὶ ἐνεργημάτων τινῶν, ὁποῖον τὸ κερδοσύνη, δρηστοσύνη, παλαισμοσύνη, πλαγκτοσύνη, τοξοσύνη βριθοσύνη· ὅμοιον δὲ καὶ τὸ ταρβοσύνη, πραγμάτων κατηγορικὰ, καὶ παθημάτων δηλωτικά.

144.

πῦρ ἐπιφέροντας. Denique Synesius in Aedesio p. 41. ὅτι ὁ δῆμος ὑπὸ λιμοῦ παραταθέντες συνήεσαν εἰς τὸ θέατρον: ita partim e Ruhnkenii coniectura, de qua vide Boissonad. ad Philostr. Her. p. 400.; edebatur enim παραθέντες.

Ἀττικῶν] Cod. αἰτιατικῶν, quod Burneius iam vidit mutandum esse.

143. Phav. h. v. p. 1510,4.

κερδοσύνη] V. Dammii *Lex. Hom.* p. 2760.

δρηστοσύνη] Odyss. ο,320. Cod. δρυστοσύνη.

παλαισμοσύνη] Iliad. ψ, 701. Odyss. 103. 126. Quae sequuntur dua vocabula, quibus caret editio Burneiana, e Cod. reposui. Πλαγκτοσύνη exstat in Odyss. ο,242., et τοξοσύνη in Iliad. ν, 314.

βριθοσύνη] Iliad. ε, 839. μ, 460. Cod. et Phav. βροτοσύνη.

144. ΠΛΗ'ΣΙΟΣ. τὰ παρὰ μέλλοντα γινόμενα προπαροξύνονται. τὸ ἀνεψιὸς καὶ δεξιὸς ὀξύνονται. τὸ δὲ πλήσιος, ἀπὸ τοῦ πλητὸς, πλήτιος λέγουσιν, ὡς ἄμβροτος, ἀμβρόσιος, τροπῇ τοῦ τέλους. οὐ γέγονε δὲ τὸ πλήσιος παρὰ μέλλοντα. οἱ γὰρ Λάκωνες τὰ παρὰ μέλλοντα εἰς τ̄ οὐ τρέπουσιν, ἀλλ' ἀπὸ τῶν εἰς τ̄ο̄ς̄, οἷον ἐνιαυτὸς, ἐνιαύσιος, ἐνιαύτιος, λέγουσιν, ὑπόμνημα διδόντες τοῦ πρώτου τ̄· πλοῦτος, πλούσιος, πλούτιος, τὸ δὲ πλήσιος, πλήτιος λέγουσιν.

145. ΠΟΔΑΠΟ'Σ· ἐπὶ γένους ὀρθῶς εἴποις ἂν, οἷον ποδαπός ἐστιν ὁ δεῖνα; Θηβαῖος, ἢ Ἀθηναῖος· οἱονεὶ ἀπὸ ποίου δαπέδου. Ἀριστοφάνης ἐν Νεφέλαις, ταυτὶ ποδαπὰ τὰ θηρία; ἤγουν ἐκ ποίου γένους. γράφεται δὲ καὶ ποταπός. περὶ δὲ τρόπου ἐρωτῶν οὕτως ἐρεῖς, ποταπὸς τὸν τρόπον Σωκράτης; ἐπιεικής.

146. ΠΟΛΙ'ΤΗΣ τῷ δεῖνι λέγομεν, ἤγουν συμπολίτης. πολίτης ἐστί μοι ὅδε, ἄνευ τῆς σ̄ῡν̄, ἤγουν ἀπὸ τῆς αὐτῆς ἐστί μοι πόλεως. συμπολι-

144. Phav. h. v. p. 1520,49. In quo de v. πλησίος praecepto utrumque Grammaticum, si quidem contexta non turbata sunt, pulchre falli docet Arcadius de accent. p. 40,20 et 41,14.

145. Phav. h. v. p. 1525,13. Aristophanis locus est Nubium 185.

146. Id. h. v. p. 1534,37., unde mox in ed. Angl. ὁ δεῖνα pro Codicis lectione ὅδε illatum est: at vide §. 148. Idem pro ἐστί μοι utroque loco ἐστὶν ἐμοί.

τεύεται δέ μοί τις, μετὰ τῆς σῦν, ἤγουν τὴν αὐτὴν πόλιν οἰκεῖ. πολίτης, δημότης, Φυλέτης, ἄνευ τῆς σῦν προθέσεως λέγων Ἀττικῶς ἐρεῖς. συνέφηβος δὲ, καὶ συνθιασώτης, καὶ συμπότης, ὅτι καὶ πρόςκαιρος αὐτῶν ἡ κοινωνία. ἐπὶ δὲ τῶν προτέρων, οὐχ ὁμοίως.

147. ΠΟ´ΣΟΝ· ἐπὶ πλήθους, εἰ πολὺ ἢ ὀλίγον ἐστί· ὡς παρ' Εὐριπίδῃ, πόσον χρόνον δεμνίοις πέπτωχ' ὅδε; ἤγουν, ἐπὶ πόσον.

148. ΠΟ´ΣΟΣ· ΠΟΙ͂ΟΣ· ΠΟ´ΤΕΡΟΣ· ΠΟ´ΣΤΟΣ· ΠΗΛΙ´ΚΟΣ· ΠΟΔΑΠΟ´Σ· ΠΟΣΤΑΙ͂ΟΣ· ΤΙ´Σ. τὰ πευστικὰ, ἤγουν τὰ ἀπόκρισιν ὡρισμένως ζητοῦντα, ἥκιστα ἄρθροις συντάσσονται, ἐπ' ἐρωτήσει ἀρκτικῇ λόγου. ὅτι τὸ μὲν πύσμα ἀγνοοῦντος· τὸ δὲ ἄρθρον ἀναφέροντος. ἐπ' ἐρωτήσει δέ τοι τοῦ εἰρημένου, καὶ ἐνάρθρως ἔσθ' ὅτε, οἷον τὰ ποῖα λέγεις; συνάπτεται δὲ τὰ ἐρωτηματικὰ, καὶ μάλιστα τὸ τίς, τῶν ῥημάτων τοῖς ὑπαρκτικοῖς τε καὶ κλητικοῖς. ἐπαγομένου δὲ ὀνόματος, καὶ ἡ ἀντωνυμία ἐκ τρίτου πρόςκειται. τίς ἐστιν οὗτος; ἢ

147. Priora Phav. h. v. p. 1548, sq.

Εὐριπίδῃ] Orest. 88. Mox ἤγουν de nobis pro vulg. οἷον dedimus, quod alienum esse etiam Schol. Eur. l. c. docet.

148. Phav. h. v. p. 1549, 3. qui mox perperam οἷον pro ἤγουν.

ἔσθ' ὅτε] Phav. ἔσθ' ὅτι, quod nobis quidem nondum occurrit.

τίς ὅδε καλεῖται; καὶ ἐλλείψει τοῦ ὑπαρκτικοῦ, τίς οὗτος;

149. ΠΟΣΤΟΝ· ἔχει ἐρώτησιν περὶ ἀριθμοῦ τεταγμένου· ὀκτὼ, ἢ δέκα.

150. ΠΟΤΕΡΟΝ· ὄνομα ἐρωτηματικὸν, ἐπὶ δύο τὴν ἐρώτησιν ἔχον. καὶ τὸ ἐπίῤῥημα ὁμοίως ἐρωτηματικὸν, ὃ καὶ πληθυντικῶς λέγεται πότερα. πότερον σιωπῶ, ἤ τι λέγω; ὅλως ἐρώτησις διαπορητικὴ ὑποτακτικὸν τοῦ ῥήματος ἀπαιτεῖ, οἷον βούλει εἴπω; βούλει ποιῶ;

151. ΠΡΕΣΒΥΣ· ὁ γέρων. καὶ κλίνεται πρέσβεως, συνεξακολουθῶν τῷ πήχεως καὶ πελέκεως. ἐπεὶ γὰρ διὰ τοῦ ω μεγάλου κλίνουσι ταῦτα οἱ Ἀττικοὶ, ἀναγκαίως καὶ τὰ παραλήγοντα τῶν φωνηέντων εἰς ε μεταβάλλουσι. τούτου ἡ εὐθεῖα τῶν πληθυντικῶν πρέσβεες, καὶ πλεονασμῷ τοῦ ι, ἢ τροπῇ τοῦ ε εἰς η πρεσβῆες, καταβιβαζομένου καὶ τοῦ τόνου διὰ τὴν λογικὴν ἔκτασιν, ὡς πολλάκις εἴρηται. διφορεῖται δὲ ἡ παραλήγουσα, ὥσπερ ἐν τῷ τεθνειὼς καὶ πλεονασμῷ τοῦ ι, ἢ κατὰ τροπὴν

149. Id. h. v. p. 1549,19.

150. Id. h. v. p. 1550,2.

151. Id. h. v. p. 1556,7., cuius auctoritate ipso quoque Codice iubente textum Burn. supplevimus, in quo pro τεθνειὼς καὶ γὰρ κἀκεῖ ἀπὸ τοῦ τεθνεὼς edebatur τεθνεώς; quod corruptelae absque codicum ope vix eluendae genus solemnis scribarum error peperit, de quo alio loco a nobis monitum est, et crebro monebitur.

τοῦ ε εἰς η τεθνηὼς γίνεται, διφορουμένου κατὰ τὴν γραφήν. καὶ πρεσβύτερος, ὁ τιμιώτερος, καὶ μείζων. καὶ πρεσβύτερος, ὁ παλαιότερος.

152. ΠΡΕΥΜΕΝΗ'Σ· ὁ εὐμενής. ἐτυμολογεῖται ἐκ τοῦ πρᾶος καὶ εὐμενής. καὶ ἐκ τῆς τεχνολογίας γινώσκεις τὴν δύναμιν τῆς λέξεως. οὐ γὰρ μικρὸν ἡ τεχνολογία παρὰ γραμματικοῖς, ἀλλὰ γνῶσίς τις τῆς ὑποκειμένης λέξεως. σαφῶς γὰρ δι' αὐτῆς καὶ τὸ ἀγηλατεῖν, τὸ ψιλούμενον, ἐκ τοῦ ἀπάγειν καὶ ἀπελαύνειν ἔχει τὴν ἐτυμολογίαν, ἥτις διασαφεῖ τὴν τῆς λέξεως δύναμιν. καὶ κυκεὼν, ἐκ τοῦ χύω καὶ χέω, κατὰ τοὺς παλαιούς· καὶ ἐκ τοῦ θροῦς καὶ βοὴ, ὁ θόρυβος. καὶ ἐκ τοῦ μόρος καὶ φόβος, ὁ μόρφνος αἰετός. καὶ ἐκ τοῦ χρέος καὶ ὀφειλὴ, ὁ χρεωφειλέτης. καὶ ἐκ τοῦ πτίσσειν καὶ αἰνεῖν, ταυτοδυνάμων λέξεων, ὥς φησι Παυσανίας, ἡ πτισσάνη. καὶ ἐκ τοῦ ἄττειν καὶ ἄλλε-

παλαιότερος] Codex παλαιότατος.

152. Quaedam Phav. h. v. p. 1556,20. Usque ad verba Παυσανίας, ἡ πτισσάνη edidit Villois. ad Apollon. Lex. Hom. p. LXX.

τεχνολογίας] Legendum, ni fallor, ἐτυμολογίας, parique modo mox ἐτυμολογία pro τεχνολογία. Desunt in Phav. verba καὶ ἐκ τῆς τεχνολογίας — τῆς λέξεως.

διασαφεῖ] Ita Burn. e Phav. pro scriptura Codicis διαφερεῖ, qui etiam mox χρόνος pro χρέος.

Παυσανίας] Ipsum hoc Pausaniae lexicon Atticae dictionis, quod propter eximiam eius indolem iusta laude Photius Bibl. Cod. CLIII. p. 321. ed. Schott. extollit, quodque

σθαι, κατά τινας, ἀττάλλειν. καὶ ἐκ τοῦ θορεῖν καὶ ἀΐσσειν, ὁ θρᾷξ. καὶ ἐκ τοῦ καίειν καὶ δαίειν, κανδαύων ὁ Ἄρης, διὰ τὴν καυστειρὰν μάχην, τὴν καὶ δηΐδα. καὶ ἐκ τοῦ φονεύειν καὶ κτείνειν, τὸ φονοκτονεῖν. καὶ ἐκ τοῦ δονεῖν καὶ πάλλειν, τὸ δνοπαλίζειν, καὶ ἐκ τοῦ ἱκέσθαι καὶ θύειν, ὁ ἰχθύς. καὶ ἐκ τοῦ ἄρχειν καὶ ἡγεῖσθαι, ὁ ἀρχηγός. καὶ ἐκ τοῦ χέειν, ῥέειν, νάειν, ὁ χρόνος. καὶ ἐκ τοῦ νάειν καὶ ῥέειν, ὁ Νηρεύς. καὶ ἐκ τοῦ σύεσθαι, ἤγουν ὁρμᾶν, καὶ τοῦ κύειν, ἡ συκῆ. ἐκ τῶν αὐτῶν δὲ, κατὰ τοὺς παλαιοὺς, καὶ ὁ σικυός· κατὰ μετάθεσιν, ἢ τροπὴν διχρόνου. καὶ ἐκ τοῦ θῶ, τὸ τίθημι, καὶ τοῦ θῶ, τὸ θηλάζω· τήθη, ἡ ἐντιθεῖσα ἔνθεσιν, ἤγουν τροφὴν, τῷ θηλάζοντι βρέφει· καὶ ἀπὸ τοῦ τείρω καὶ ἔδω, τερηδὼν, ζωΰφιον ἐμφυόμενον ὀστοῖς καὶ ξύλοις. ἐμφύονται γὰρ σώμασι

a Scholiasta Thucyd. 6,27. opus διαπεποιημένον adpellatur, etiam hodie in recondito alicuius Italiae Bibliothecae latibulo videtur delitescere, quod non sine iure ex iis coniicias quae in Labbei *Nova Bibliotheca MSS*. p. 171. adnotantur: neque hoc mirum quum etiam Eustathii episcopi docti aetatem id tulisse videatur, qui eius auctoritate in παρεκβολαῖς ad Homerum saepe utitur: ne multa, vide ad Odyss. β. extr. p. 106. ad η. p. 276. Pausaniam Noster iterum laudat §. 197. 233. 265. Etiam Phavorinus creberrime ad eum provocat, v. c. p. 1115,5.

ἀττάλλειν] De hac vocis etymologia cf. Werfer. in Thierschii *Act. Phil. Monac.* vol. 2. fasc. 1. p. 134. Adde Schol. Sophocl. Aiac. 653. p. 298. Erf.

δνοπαλίζειν] Cod. δνοπαλλίζειν.

τὰ τοιαῦτα θηρίδια· ὧν εἶδος οἱ ἶπες. ἔτι ὁμοίως ἐκ τοῦ ἐναίρειν καὶ κτείνειν, ἐναροκτάντας ὁ θάνατος. τοιοῦτον δὲ καὶ ἡ Ὁμηρικὴ Ἁλοσύδνη, καὶ ἡ τοῦ Καλλιμάχου Ὑδατοσύδνη· ὀνόματα δὲ τὰ τοιαῦτα Νηρηΐδων. οὐκ ἀπέοικε δὲ τῶν τοιούτων οὐδὲ ὁ Ὡραπόλλων, ἀνὴρ λόγιος· οὗ ἡ σύνθεσις ἐκ τοῦ Ὧρος καὶ Ἀπόλλων, ἃ καὶ ἄμφω ἐπίθετά εἰσι Φοίβου. συμφωνεῖ καὶ τὸ μυθολογεύειν, ὅπερ ἐστὶ μυθεῖσθαι καὶ λέγειν. ἤδη δὲ καὶ τὸ λογολεσχεῖν· λόγος γάρ τις καὶ ἡ λέσχη ἐστί. τὴν δὲ τοιαύτην σύνθεσιν παρεισήγαγεν ὁ ἐκ παραλλήλου σχηματισμός· ὃς ἢ ἐννοίας ὁμοίας ἀλλήλαις ἐπιστοιβάζει, οἷον ὁ μέγας ἐλήλυθε βασιλεὺς, ὁ τρὶς μέγιστος ἄναξ παραγέγονεν, ἄμφω γὰρ τὰ κῶλα ταῦτα, ἐκ παραλλήλου τὸ αὐτὸ δηλοῦσι νόημα· ἢ λέξεις ἰσοδυνάμους παραλληλίζει, οἷον τυχὸν ἴσως οὕτω γέγονε· καὶ λίαν πάνυ ταχέως· τοιοῦτον δὲ φιλόφιλος· φαυλεπίφαυλος. καὶ τὸ πάμπαν ἐν τούτοις ἐπίρρημα.

ἐναροκτάντας] Recte ita Burn. pro νεκροκτάντας, quod praeter Codicem Phavorinus quoque.

ἡ Ὁμηρικὴ Ἁλοσύδνη] Iliad. υ, 207. Odyss. δ, 404. De hoc Nereidarum cognomine adeas Schneider. Lex. Gr. v. ὕδνης.

ἡ τοῦ Καλλιμάχου Ὑδατοσύδνη] Fragm. 347. In Philèmone Burneii vulgatum est Ὑδατοσύνη.

σχηματισμός] Cod. et Phav. σχήματος: Burn., ut editur.

ἐλήλυθε βασιλεὺς] Phav. βασιλεὺς ἦλθεν. Codex mox νοήματα: editum Phav. Uterque denique παραλληλίζειν.

153. ΠΡΟΤΕΡΑΙ'Α· ἐπὶ μόνης ἡμέρας. Πλάτων ἐν Φαίδωνι· ἔτυχε γὰρ τῇ προτεραίᾳ τῆς δίκης. προτεραία, ἡ πρώτη· καὶ προτεραῖος.

154. ΠΡΟ'ΤΕΡΟΣ ἐπὶ δύο· πρῶτος ἐπὶ πολλῶν· πρώτιστος οὐ λέγεται. οὐ δὲ γὰρ ὑπερθετικὸν ὑπερθετικῷ συνάπτεται. ἐκράτησε δὲ τοῦτο παρὰ τοῖς Ἴωσιν, ὡς καὶ παρ' Ὁμήρῳ εὑρίσκεται Ἰλιάδος β.

ἅς τοι
πρωτίστῳ δίδομεν, εὖτ' ἂν πτολίεθρον ἕλωμεν.

155. ΠΡΟΤΕΡΑΙ'ΤΕΡΟΣ· ἀντὶ τοῦ πρότερος εὕρηται. πρότερος δὲ λέγεται κατὰ φύσιν· λέγεται καὶ κατὰ χρόνον· καὶ κατὰ τάξιν· καὶ κατὰ τιμήν.

156. ΠΡΩ'ΤΙΣΤΟΣ· ἀντὶ τοῦ πρῶτος. τὸ συγκριτικὸν οὐκ ἔχει· ἔστι δὲ ὑπερθετικόν. ἐπειδὴ τὰ ὑπερθετικὰ τριγενῆ εἰσί· τὰ δὲ οὐδέτερα οὐκ ἔχει. πρῶτος δὲ ἐπὶ πολλῶν, πρότερος δὲ ἐπὶ δύο. καὶ τῷ μὲν πρώτῳ ἀκολουθεῖ ὁ ὕστατος, τῷ δὲ προτέρῳ ὁ ὕστερος. οὕτω καὶ ἐπὶ τῇ πρώτῃ, καὶ προτέρᾳ.

153. Phav. h. v. p. 1585,26. Phaedonis locus est, 2. p. 58. A.

154. Phav. h. v. p. 1585,28., quem secutus Burn. praeter necessitatem πρώτιστος δὲ οὐ λέγεται. Iliadis β versus est 228. E Codice Burn. ἅ τοι πρωτίστῳ. Ceterum πρώτιστος recurrit etiam Iliad. π, 656.

155. Phav. h. v. p. 1585,31. 34. Posterius λέγεται in ed. Angl. omissum est.

156. Partem priorem Phav. h. v. p. 1593,13. In ed.

157. ΠΡΟ'ΣΠΟΛΟΣ· ὁ δοῦλος, ἀρσενικῶς· ἀμφίπολος δὲ, θηλυκῶς, ἡ δούλη. ἐνίοτε καὶ παρηλλαγμένως.

158. ΠΥ'ΛΟΣ· ἡ πόλις, παρ' Ὁμήρῳ θηλυκῶς ἀπανταχοῦ. ὁ δὲ Γεωγράφος καὶ ἄλλοι ἀρσενικῶς, τὸν Πύλον. καὶ Πύλου ἠμαθόεντος, ἀντὶ τοῦ ἠμαθοέσσης. καὶ τοιοῦτόν τι ἐν Ὀδυσσείᾳ, ὑλήεντι Ζακύνθῳ, ἀντὶ τοῦ ὑληέσσῃ. καὶ, Φωκάων

Angl. huic §. sequens praeter Codicis auctoritatem praeponitur, nempe ut ordo vocabulorum alphabeticus ad syllabam exigatur.

157. Quaedam Phav. h. v. p. 1580,6. Post ἐνίοτε Burn. δὲ de suo addidit.

158. Ab initio usque ad ἀρσενικῶς exstant apud Phav. h. v. p. 1502,20. Edidit Villois. ad Apollon. Lex. Hom. p. 875.

παρ' Ὁμήρῳ θηλυκῶς] Haec non sine errore aut Philemonis aut librarii proferri videntur, licet Coluthus caeteroquin totus ab Homero pendens v. 270. οὐ Πύλον ἠμαθόεσσαν ἔχεις, nisi hoc corruptum ex οὐ Πύλον ἠμαθόεντ' ἀνέχεις. Contra Strab. 8. p. 336. C. Casaub. (T. 1. p. 489. ed. Falconer.) Steph. Byz. Πύλος λέγεται καὶ θηλυκῶς καὶ ἀρσενικῶς.

Πύλου ἠμαθόεντος] Iliad. ι, 153. 295. λ, 711. Odyss. α, 93. β, 326. δ, 633. ω, 151. Hymn. Hom. in Apoll. 398. 424. in Merc. 389. Diaconus ad Hesiodi Scut. Herc. 360. p. 101. ed. Heinrich. τὸ Πύλου ἠμαθόεντος Ἀττικόν ἐστιν· ἐκεῖνοι γὰρ τὰ θηλυκὰ ἀποδίδουσιν ἀρσενικοῖς καὶ ἀνάπαλιν. Τοιοῦτόν ἐστιν ἐν Βοιωτίᾳ [Iliad. β, 724.] τὸ κλυτὸς Ἱπποδάμεια, καὶ τὸ θῆλυς ἐέρση [Odyss. ε, 467.] καὶ παρ' Εὐριπίδῃ τὸ ἀγγελθεῖσά μοι γενναῖος [Hecub. 595] ὤφειλεν οὖν εἰπεῖν ἐνταῦθα Πύλου ἠμαθοέσσης· ἡ Πύλος γάρ ἐστι θηλυκόν.

ὑλήεντι Ζακύνθῳ] Odyss. α, 246. π, 123. τ, 131.

φωκάων ὀλοώτατος ὀδμή] Odyss. δ, 442.

ὀλοώτατος ὀδμὴ, καὶ, πικρός. καὶ νεκρὸν δάμαρτα. ἰστέον ὅτι ὥσπερ φθογγὴ, φθόγγος· χολὴ, χόλος· τιμὴ, τῖμος, ὡς παρὰ τῇ κωμῳδίᾳ τὸ τίμημα· ποθὴ, πόθος· ὠνὴ, ὦνος· βολὴ, βόλος, καὶ ἕτερα· οὕτω πύλη, πύλος, ἀρσενικῶς, οἷον ἐν πύλῳ βαλών. οὐ γὰρ ἐν τῇ Πύλῳ πόλει τὸν Ἅδην ὁ Ἡρακλῆς ἔβαλεν, ἀλλὰ ἐν τῇ τῶν νεκρῶν πύλῃ. διὸ καὶ ὁ Ποιητὴς ἑρμηνεύων ἐπάγει τὸ, ἐν νεκύεσσι βαλών.

159. ΠΩΫ· τὸ πλῆθος τῶν προβάτων. ποιμὴν δὲ, ὁ κατανέμων αὐτά. διὸ καὶ ποιμαίνειν λαὸν ὁ βασιλεὺς λέγεται, οὐ μὴν αἰπολεῖν, πολλῷ δὲ μᾶλλον οὐδὲ βουκολεῖν. τὸ γὰρ βουκολεῖν ταὐτόν ἐστι τῷ ἀπατᾷν, πολλάκις καὶ ὡς φαῦλον λαμ-

πικρὸς] Villoisonus πικρὸν ὀδμὴν ex Odyss. δ, 406. recte confert.

νεκρὸν δάμαρτα] Villoisonus: „an immerito respicit Odyss. υ, 290. [Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα] aut ω, 124. aut Batrach. 105?“ Similiora, licet aliena, ex Homero afferri non possunt.

πύλῳ βαλὼν] Villois. Iliad. ε, 397. et Pindar. Olymp. 9,46. comparari iubet. At priorem locum ex Iliade ἐν πύλῳ ἐν νεκύεσσι βαλὼν sine dubio Philemo respicit, ad quem Scholia br. docte: ἀντὶ τοῦ ἐν πύλῃ, πρὸς τῇ πύλῃ· οὐ γὰρ ἐν τῇ πύλῃ τῶν πολίων [lege Πυλίων] λέγει, ἀλλ' ἐν τῇ πύλῃ τῶν νεκρῶν etc.

159. Similia Phav. h. v. p. 1610,13. R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 128. „Ex Herodiano descripta. Vid. Hermann. de Em. Gr. Gr. p. 310.“

κατανέμων] Cod. κατὰ τέμνων: correxit Burneius.

βάνεται. κλίνεται δὲ πώεος, καὶ πώϋος, ἀκολούθως τῷ μέθυ, μέθυος, μέθυϊ. τούτου δὲ οὕτως ἔχοντος, ζητεῖται, πῶς ὁ Ποιητὴς τὴν ὀνομαστικὴν εἶπε πῶϋ, ὡς τὸ μέθυ· οὐκέτι μέντοι ἐπὶ τῆς πληθυντικῆς ὀνομαστικῆς καὶ αἰτιατικῆς ἐφύλαξε τὸ ῡ μόνον, ἀλλά που εἶπε, καὶ πώεα καλά. Φαμὲν οὖν ὅτι ἀφ' ἑτέρας εὐθείας πεποίηκε τὴν αἰτιατικὴν, ἀπὸ τῆς πῶας, ὡς τὸ κῶας·

πὰρ δ' ἐτίθει δεῖνόν τε μέγα καὶ κῶας ἐπ' αὐτόν.

ὥςπερ οὖν ἀπὸ τῆς κῶας ὀνομαστικῆς ἡ πληθυντικὴ γίνεται, εἶτα κατὰ διαίρεσιν κώεα, οὕτω καὶ ἀπὸ τῆς πῶας γίνεται κατὰ συνήθη διαίρεσιν αὐτῶν πώεα, ὡς Ἡρωδιανὸς διεσάφησεν.

Ρ.

160. ῬΑΒΔΟΝ. οἱ μὲν ἀπὸ τοῦ ποιεῖν ῥᾷον βαδίζειν γίνεσθαί φασιν· οἱ δὲ πλείους τῶν παλαιῶν ἀπὸ τοῦ ῥαπίζειν αὐτὴν παράγουσιν, διὸ καὶ

πῶϋ] saepius Homerus: Iliad. γ, 198. λ, 695. ο, 323. Odyss. μ, 299.

ἐπὶ τῆς πληθυντικῆς] Articulum Burn. e Phav. addidit. Mox πώεα καλὰ habes Iliad. σ, 528. Odyss. λ, 401. μ, 124. ω, 112.

πὰρ δ' ἐτίθει — αὐτόν] Ita e Cod. et Phav. restituimus pro edito

πὰρ δ' ἐτίθει δίφρον τε μέγαν καὶ κῶας ἐπ' αὐτῷ,

quod a Burn. ad Odyss. φ, 177. refictum est, ubi hodie

πὰρ δὲ τίθει δίφρον τε μέγαν καὶ κῶας ἐπ' αὐτῷ.

160. Phav. h. v. p. 1611,46.

παροξύνουσιν. τινὲς δὲ προπερισπῶσι, διὰ τὸ ῥᾷον, φάμενοι γίνεσθαι παρὰ τὸ ῥᾷον βαδίζειν ποιεῖν. ἕτεροι δὲ, κατὰ τὸ ῥαπίζειν λέγοντες αὐτὴν γίνεσθαι, φασὶν ὅτι καὶ τὸ ᾱ πρὸ τοῦ β͞ συστέλλεσθαι θέλει ἀβρὸς, ἄβδηλος, ἀβαρβαρία, ἐπιγράβδην· οὕτως οὖν, φασὶ, καὶ ῥάβδος· σεσημείωται τὸ ἀβάλε. καὶ ἐκ τοῦ ῥάβδου ὀνόματος σύνθετον ῥαβδοφόρος καὶ ῥαβδοῦχος. ῥάβδος δὲ καὶ ἡ τῆς γῆς διάφυσις.

161. ῬΑΔΙΝΉ· ἡ λεπτὴ καὶ μακρὰ, κατὰ τοὺς παλαιοὺς, καὶ διὰ ταῦτα, καὶ λιγυρά. δοκεῖ δὲ γίνεσθαι ἢ παρὰ τὸ ῥᾷον δινεῖσθαι, ἤτοι κάμπτεσθαι διὰ λεπτότητα, ἢ παρὰ τὸ ποιεῖν τοὺς ἵππους ῥᾷον ἰέναι, πλεονασμῷ τοῦ δ͞.

162. ῬΆΚΟΣ· τὸ διεῤῥωγὸς, ἀπὸ τοῦ ῥήσσω, ῥήξω, ἔῤῥηχα, τὰ ῥάκεα γίνεται, τροπῇ τοῦ η͞ εἰς ᾱ, καὶ τοῦ δασέος εἰς ψιλόν· ὅπερ οἱ Αἰολεῖς βράκος φασί. χρῆσις δὲ τοιαύτη παρὰ Σαπφοῖ ἐν τῷ,

161. Id. h. v. p. 1612,23., post ῬΑΔΙΝΉ addens ἱμάσθλη. Edidit Villois. ad Apollon. Lex. Hom. p. 698.

162. Phav. h. v. p. 1613,45. Edidit Villois. l. c. p. 707.

παρὰ Σαπφοῖ] R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 199. „Sapphonis versus ita disposuit Casaubonus in Theophrast p. 140.

τίς δ' ἀγροιῶτις θέλγει νόον
οὐκ ἐπισταμένη τὰ βράκεα
ἕλκειν ἐπὶ τῶν σφυρῶν;

Negat Sappho posse cuiquam placere Andromedam, quae rusticarum more vestem subductam gestet." Quem magnum suae

τίς δ' ἀγρειῶτις θέλγει νόον, οὐκ ἐπισταμένη τὰ βράκεα ἕλκειν ἐπὶ τῶν σφυρῶν, ἤγουν ποία γυνὴ χωριτικὴ, ἀγροικικώτερον ἐφέλκεται ἐραστήν.

163. ῬΑΙΣΤΟΝ δηλοῖ τὸ εὐκολώτατον· ἐξ οὗ καὶ ῥαστώνη, ἡ ἄνεσις. καὶ συντάσσεται μετὰ ἀπαρεμφάτου, οἷον ῥᾷστον ἀνύσαι· ῥᾷστον διελθεῖν. τίθεται δὲ ἐπιῤῥηματικῶς.

omnisque aetatis Criticum in explicandis his Sapphonis verbis felicissimum fuisse, hic ipse Philemonis locus egregie demonstrat, quo usus Anonymus in *Mus. Crit. Cantabr.* vol. 1. p. 19. ἀγροιῶτιν nescio quibus de caussis reponi iussit, toto fragmento ita disposito:

τίς δ' ἀγροιῶτιν [ἐπεμμένα στολὰν]
σοὶ θέλγει νόον, οὐκ ἐπισταμένα
τὰ βράκε' ἕλκην ἐπὶ τῶν σφυρῶν.

At recte ἀγρειῶτις habere, cuius loco Codex leviter corruptus ἀγρειώτης, unde Villoisonus ἀγροιώτης, docent quae interpretationis caussa a Philemone adiecta sunt, γυνὴ χωριτική. Ceterum forma feminina ἀγρειῶτις, sive ἀγροιῶτις Lexicis accedat.

ἀγροικικώτερον] E Codice editum ἀγροικιώτερον: quam vocem iusta analogia carentem cave ne Lexicis addas. Repositum vocabulum exstat apud Eumathium de amor. Ismen. 2. p. 40. Lips.

163. Phav. h. v. p. 1614,56., unde adstipulante ipso Codice Philemoni εὐκολώτατον pro edito εὐκολώτερον vindicavimus.

ῥαστώνη, ἡ ἄνεσις] Lexicon ined. cod. Paris. Reg. 2562. fol. 235. *verso:* Ῥαστώνη λέγεται ἡ εὐκολία, ὡς τὸ, πολλή σοι ῥαστώνη παρ' ἡμᾶς ἰέναι, ὁπότε βούλοιο. Ῥαστώνη λέγεται καὶ ἡ ἐλευθερία καὶ διατριβή· ῥαστώνη καὶ ἡ χάρις· ῥαστώνη καὶ ἡ ὑγιεῖα, οὗ [Cod. ὡς] ἐναντίον ἡ δυσκολία.

164. ῬΈΘΟΣ· κυρίως τὸ πρόσωπον· παρὰ τὸ ῥᾷον τὰ ἤθη αὐτοῦ φαίνεσθαι. καταχρηστικῶς δὲ, πάντα τὰ μέλη. καὶ παρὰ τῷ Ἀπολλωνίῳ, τὰ πρόσωπα. ἰστέον ὅτι οἱ μὲν ἄλλοι τὰ μέλη φασίν· Αἰολεῖς δὲ μόνοι, κατὰ τοὺς παλαιοὺς, τὸ πρόσωπον ῥέθος καλοῦσιν. ἐπεὶ δι' αὐτοῦ ῥέα, ἤγουν εὐκόλως, τὸ ἦθος διαφαίνεται. ὅθεν καὶ παρ' Ὁμήρῳ τὸ, ψυχὴ ἐκ ῥεθέων πταμένη, τινὲς δὲ ἐκ τῶν μελῶν νοοῦσι· πνευματοποιὸς γάρ φασιν ἡ ψυχὴ οὖσα κατὰ πᾶν οἰκεῖ τὸ σῶμα.

165. ῬΕΙ͂ΘΡΟΝ· ἐπὶ τοῦ ῥεύματος οὐδεὶς τῶν ἀρχαίων εἶπεν, ἀλλ' ἐπὶ τοῦ ποταμοῦ, φημὶ δὴ τοῦ τόπου καθ' οὗ ὁ ποταμὸς φέρεται. ῥεῦμα δὲ καὶ ῥόθιον αὐτὸ τὸ ὕδωρ. καὶ Ῥεῖθρον ὄνομα τόπου, ὡς οἱ παλαιοί φασιν, ὁ ἐν Ἰθάκῃ λιμὴν, ὡς παρὰ τῷ Ποιητῇ, Ῥείθρῳ ὑπὸ Νηΐῳ ὑλήεντι· διὰ τὸν εἰς αὐτὸν ἐκ τοῦ Νηΐου καταῤῥέοντα χείμαῤῥον. τὸ δὲ Νήϊον ὄρος Ἰθάκης κάθυγρον, ἔχον κόλπον τινὰ νηῶν δεκτικόν.

264. Phav. h. v. p. 1616,43. Maximam partem edidit Villois. ad Apollon. Lex. Hom. p. 699. sq.

Ἀπολλωνίῳ] Rhod. 2,68. ibiq. Schol.

Ὁμήρῳ] Iliad. π, 856.

μελῶν] Phav. βελῶν, ita edente Villoisono quoque. Nos in Codice vere μελῶν vidimus.

165. Phav. ibid. lin. 55. Thomas M. p. 779. Edidit Villois. ad. Apollon. Lex. Hom. p. 700., qui post φημὶ δὴ de suo addit ἐπί.

τῷ Ποιητῇ] Odyss. α, 186.

166. ῬΗΓΜΙ͂Ν· ὁ αἰγιαλὸς, ἔνθα τὰ κύματα ῥήγνυται. λέγει δέ που ὁ Ποιητὴς ῥηγμῖνα τὴν τῆς θαλάσσης ἐπιφάνειαν, ἥν φησι καὶ εὐρέα νῶτα θαλάσσης. οὕτω καὶ ἐν Ὀδυσσείᾳ λέγει, κώπαις τύπτεσθαι ἁλὸς ῥηγμῖνα βαθεῖαν.

167. ῬΗ͂ΤΩΡ· τὸ παλαιὸν ἐκαλεῖτο ὁ δήμῳ συμβουλεύων, καὶ ὁ ἐν δήμῳ ἀγορεύων. ὕστερον δὲ ὁ παρ' ἑνός τινος καλούμενος ἐν δικαστηρίῳ, ὡς ὑπεραπολογησόμενος, καὶ συνηγορήσων ἐκείνῳ, ὅς

166. Similia Phav. h. v. p. 1617,49. Edidit Villois. l. c. p. 701.

ὁ Ποιητὴς] Loca ex Homero huc pertinentia collegit Dammius *Lex. Hom.* p. 2,107., quae transcribere omnia taedet.

εὐρέα νῶτα θαλάσσης] Iliad. β, 159. υ, 228. Odyss. ι, 17. 142., ne plura ex Homero excitem. Adde Hesiod. Theog. 762. 740. 472. Theognid. 181. Brunck. Ita antiquiorum fert usus epicorum: recentiores contra γαλήνης, quod quare novissimus Coluthi editor v. 204. (200.)

ἔπλεεν Ἑλλήσποντον ἐπ' εὐρέα νῶτα τιθήνης,

(quae contexta mihi quidem sensu carere videntur,) ex egregia dicendi usu comprobata Lennepii coniectura, quam corrupta genuinae lectionis vestigia τιθήνης nec non glossae codd. Mutinensis et Gothani θαλάσσης exhibentium confirmant, in textu exprimendum non curaverit, profecto non adsequor: et tamen iam Wernikio Bekkerus aures praebere debuisset, indicanti Nonni, a quo ut ceteri eius aequales ita hic epicus poeta maxime pendet, locum Dionys. 3,59., cui addi poterat alius, 11,49.

167. Phav. h. v. p. 1619,39. Quaedam ab initio Thomas M. h. v. p. 781. Bern.

καὶ συνήγορος καὶ δικολόγος καλεῖται. ῥήτωρ δὲ καὶ ὁ κατὰ ῥήτορας γράφων, καὶ ὁ ῥητορικός. λαμβάνεται δὲ τὸ ῥήτωρ καὶ ἐπὶ διαβολῆς· ὁ ῥήτωρ δὲ ἀναπτυσσόμενός πως ἐτυμολογικῶς ῥεύμασι παραβάλλεται ὕδατος· ἐκ τοῦ ῥέω γὰρ, ὡς ῥύδην χέων τὴν αὐδήν.

168. ῬΙ͂ΓΟΣ· τὸ ψύχος, ἀπὸ τοῦ φρίσσω, φρῖγος· καὶ ἀποβολῇ τοῦ φ͂, ῥῖγος. καὶ ῥιγίον ἡ νόσος.

169. ῬΙΠΗ καὶ ΣΤΡΑΤΙΗ βαρυτόνως λέγονται πρὸς διαστολὴν τῆς ῥιπῆς, ὃ δηλοῖ τὴν ὁρμὴν τῆς στρατίας τοῦ λαοῦ. μήποτε καὶ πληθυντικῶς λέγεται Ῥίπαι, ἐὰν ὁ Στράβων περὶ ταύτης λέγῃ ὅτι Ῥίπαι οὐκ οἰκοῦνται. τὴν δὲ χώραν Ῥίπιδα καλοῦσι· τὸ δ' ἐθνικὸν ταύτης Ῥιπαῖος. τῆς δὲ Στρατίης, ἥτις ἀπὸ Ἡρωΐδος οὕτω καλεῖται, Στρατιεὺς ὁ πολίτης καὶ Στρατιάτης. Στράτιοι μέντοι πόλις Ἀκαρνάνων, ὧν ὁ πολίτης Στρατιώτης καὶ Στράτιος εὑρίσκεται.

170. ῬΟΔΟΝ· τὸ ἄνθος. ῥοδωνιὰ, ὁ τόπος.

ἀναπτυσσόμενός πως — ὕδατος] Phav. *ἀναπτυσσόμενος ἐτυμολογικῶς, ὕδατος παραβάλλεταί πως ῥεύμασι*, rectius fortasse. Codex *παραλαμβάνεται*: correxit Burneius.

168. Phav. h. v. p. 1620,14.

169. Id. h. v. p. 1621,12. Strabonis locus est 8. p. 388. D.

170 Phav. h. v. p. 1622,20. Edidit Villois. ad Apollon. Lex. Hom. p. 704.

ῥοδῆ δὲ, τὸ φυτόν. Ἀρχίλοχος· ἔχουσα θαλλὸν μυρσίνης, ἀφείπετο ῥοδῆς τε καλὸν ἄνθος. Ῥόδος δὲ, ἡ περιφανεστάτη νῆσος.

171. ῬΥΘΜΌΣ· ἡ ἁρμονία, καὶ ἡ ἀκολουθία, ἢ ἡ τῆς κινήσεως τάξις, ἀπὸ τοῦ ῥύω, ῥύσω, ῥηματικὸν ὄνομα ῥυσμός· καὶ τροπῇ τοῦ σ̄ εἰς θ̄. ῥυθμός. ἢ ἐκ τοῦ ἐρύω, τὸ ἑλκύω, ἐρυσμός· καὶ τροπῇ τοῦ σ̄ εἰς θ̄ ῥυθμὸς, ἀφαιρέσει τοῦ ε̄.

172. ῬΥΜΒΟΣ· ὁ δῖνος, ἀπὸ τοῦ ῥύω. ἀφ' οὗ

171. Phav. h. v. p. 1625,31.

172. Phav. h. v. p. 1625,48. Ampliora Etym. M. p. 640,25., ubi vide quae Britannorum candidissimus, E. G. Barkerus ea qua solet eruditione congessit: quibus addas Scholion e codice vetussissimo saeculi fere X. olim Mutinensi, iam Regio Paris. 451. Clementis Alexandrini nonnulla continente partim editum a Bastio ad Schaeferi Gregorium p. 141., quod integrum hic describo, repertum fol. 8. *verso* ad Cohort. ad Graecos p. 15. κῶνος καὶ ῥόμβος] Κῶνοι, οἱ στρόβιλοι καὶ οἱ θύρσοι, ὡς Διογενιανός. Ῥόμβος, δῖνος, κῶνος, ξυλήριον [Bastium ξυλάριον edentem codicis scriptura fefellit] οὗ ἐξῆπται τὸ σπαρτίον· καὶ ἐν ταῖς τελεταῖς ἐδονεῖτο ἵνα ῥοιζῇ τὸ δὲ . . . καὶ ῥύμβος ἐκαλεῖτο· οὕτως Διογενιανός. Ὅτι δὲ ῥόμβος καὶ ῥύμβος λέγεται, Ἀπολλώνιός φησιν ὁ Ῥόδιος,

ῥύμβῳ καὶ τυμπάνῳ Ῥείην Φρύγες ἱλάσκονται.

In Apollonii loco, qui est 1,1139. vulgo editur ῥόμβῳ, de qua lectionis varietate adeas Brunckii notam: Scholiastae adstipulatur Philemo, cuius scripturam ῥύμβῳ ad Apollonii exemplar corrigendam esse cum R. W. in *Mus. Crit. Can-*

οὗ ῥύσις, καὶ ῥυσμός· εἶτα ἐλλείψει τοῦ σ̄, καὶ πλεονασμῷ τοῦ β̄, ῥύμβος, ὡς τὸ

ῥύμβῳ καὶ τυμπάνῳ Ῥείην Φρύγες ἱλάσκονται,

μυστικῷ σανιδίῳ, ὃ ῥίπτουσιν εἰς τὸν ἀέρα στρέφοντες, καὶ ἦχον ἐμποιοῦσιν. ἔστι δὲ καί τις τροχίσκος ῥύμβος, ὃ καὶ ῥόμβος, καὶ βρυτὴρ παρά τισι λέγεται.

173. ῬΩΓΑΛΈΟΝ· τὸ διεῤῥωγὸς, ἀπὸ τοῦ ῥήσσω, οὗ μέσος παρακείμενος ἔῤῥηγα, καὶ τροπῇ τοῦ η̄ εἰς ω̄ ἔῤῥωγα. ἐξ οὗ καὶ διεῤῥωγὸς ἱμάτιον, καὶ χιτὼν ῥωγαλέος. χιτὼν δὲ ὁ πολεμικὸς θώραξ, καθ' ὁμοιότητα τοῦ ἐνιματισμοῦ, ἐπεὶ καὶ ὅπλα ἐνδύεσθαι φαμέν. καὶ ῥωγαλέα ἱμάτια, τὰ διεῤῥηγμένα, τροπῇ τοῦ μακροῦ εἰς μακρόν.

174. ῬΩΠΟΠΩ΄ΛΗΣ· ὁ μυρεψός. ῥῶπες γὰρ, ὕλη, καὶ ὑλώδη φυτά· ἢ θάμνοι, καὶ σύμφυτος

tabr. vol. 1. p. 198. non statim edixerim, idem ferente etiam Phavorino, licet vitiose ῥύμβῃ.

ῥυσμός] Cod. ἐῤῥυσμός: ut editum, Phavorinus.

ῥίπτουσιν] Etym. et Phav. στρέφουσιν, omisso στρέφοντες. Iisdem auctoribus obtemperantes e Codice mox ἐμποιοῦσιν vulgatae ἐκποιοῦσιν substituimus.

173. Phav. h. v. p. 1627,55.

174. Id. h. v. p. 1628. Usque ad verba βοτανὴ ἁπαλὴ edidit Villois. ad Apollon. Lex. Hom. p. 706., mendosam Codicis scripturam ΡΩΠΟ΄ΛΗΣ animadvertens. Conferri possunt de voce verba Lexicorum duorum ined. SGM. Reg. Paris. Cod. 345. fol. 135. *verso* et Cod. 347. fol. 138. *verso*: Ῥῶπος μίγματα, χρώματα, ὅσα βαφεῦσι, ζωγράφοις, μυρεψοῖς χρησιμεύει· ὅθεν ῥωποπώλης, ὁ μυροπώλης. Τινὲς δὲ καὶ τὸν

τόπος. ἢ ῥώψ ἐστι βοτανὴ ἁπαλή, ὡς παρὰ τὸ ῥέψω, ῥέψ, καὶ τροπῇ τοῦ ε εἰς ω, ῥώψ· ὡς βλέπω βλέψ, καὶ βλώψ, ὅθεν τὸ παραβλῶπες.

175. ῬΩΧΜΟΣ· ἡ κατὰ γῆν ῥῆξις, ἥτις καὶ ῥῆγμα λέγεται· ὥσπερ βρεχμὸς, καὶ βρέγμα· καὶ πλεχμὸς, καὶ πλέγμα. ῥωχμὸς δὲ καὶ τόπος κεχαραγμένος ὑπὸ ὀμβρίων ὑδάτων, ὡς παρὰ τῷ Ποιητῇ ἐν Ἰλιάδος ψ· ῥωχμὸς ἔην γαίης. γίνεται δὲ ὁ ῥωχμὸς παρὰ τὸ ῥήσσω· ὅθεν ῥηγμὸς, καὶ μεταθέσει τοῦ γ εἰς χ, καὶ τροπῇ τοῦ η εἰς ω, ῥωχμός.

Σ.

176. ΣΑΘΡΟΣ· ὁ σεσηπώς. ἐκ τοῦ σήπω, σήψω, ὁ δεύτερος ἀόριστος ἔσαπον· καὶ ἐκεῖθεν σαθρὸς, κατὰ πλεονασμὸν τοῦ ρ, καὶ τροπὴν τοῦ π εἰς θ ἢ ἀπὸ τοῦ σταθῆναι, σταθρὸς, καὶ σαθρὸς κατὰ ἀντίφρασιν· ἢ παρὰ τὸ σείεσθαι ῥᾳδίως·

παντοδαπὸν φόρτον ῥῶπον εἰρήκασιν. Similia Suidas h. v. T. 3. p. 268. Phrynichus Appar. Soph. in *Bibl. Coislin.* p. 468. et Bekkeri *Anecd. Graec.* T. 1. p. 61. Ῥωποπώλης: ὁ τὸν ῥῶπον πωλῶν, ὅ ἐστι ξηρὸς χόρτος καὶ ποικίλος: quo loco φόρτος pro χόρτος reponendum esse, id quod olim praeceperat Pierson. ad Moerid. p. 115., cum aliis novissimus editor more solito praetervidit: correctionem firmat Etymologus M. p. 377,30.

175. Phav. h. v. p. 1529,3. Edidit Villois. ad Apollon. p. 707. Iliadis ψ versus est 420.

176. Phav. h. v. p. 1630,45. Etym. M. p. 707,25., ubi perperam ἐκεῖθεν σαπρὸς vulgatur, hinc corrigendum.

ἢ παρὰ τὸ σείεσθαι τὰ ἄρθρα. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἐστηριγμένον ἔχειν τὸ ἄρθρον.

177. ΣΑ΄ΛΠΙΓΞ· παρὰ τὸ σαλπίζω. τοῦτο δὲ παρὰ τὸ ἔπω, τὸ λέγω· ἔψω, ὄψ, ὀπὴ, ὀπίζω, καὶ μετὰ τοῦ σέλας, ὃ σημαίνει τὴν λαμπηδόνα, σελαπίζω, καὶ σαλπίζω· ὅθεν σάλπιγξ.

178. ΣΑΥΡΩΤΗ΄Ρ ἔστι σιδήρειον κοῖλον, ἐξ ἄκρου ὀξὺ, ὃ ἐντιθέμενον εἰς τὸ ὀπίσω ἄκρον τοῦ δόρατος, ὀρθὸν αὐτὸ κατὰ σκόλοπας δίκην σταυροῦ ἱστάνει ποιεῖ κατὰ γῆς πηγνύμενον· ὅθεν καὶ τὴν κλῆσιν ἔσχεν, ὡς οἷα σταυρωτὴρ δόρατος. οἱ δὲ παλαιοὶ λέγουσι σαυρωτῆρα τὸ ἐν τῷ ἑτέρῳ ἄκρῳ τοῦ δόρατος ἔσχατον σιδήρειον κέντρον. παρ᾽ Ὁμήρῳ δὲ σαυρωτὴρ καλεῖται καὶ οὐρίαχος. ὀνομάζεται δὲ καὶ στύραξ ὁ σαυρωτήρ· ἀφ᾽ οὗ δηλαδή ἐστι τὸ δόρυ στῆναι, οἱονεὶ στήραξ, καὶ κατὰ τροπὴν στύραξ, ὥσπερ καὶ ἀπὸ τοῦ στῶ στήσω, στῆλος, καὶ στύλος κατὰ τροπήν.

177. Phav. h. v. p. 1633,4., qui ἶψ pro ὄψ, quod tuetur Etym. M. p. 708,1.

178. Phav. h. v. p. 1637,29. Usque ad verba στύραξ ὁ σαυρωτὴρ edidit Villois. ad Apollon. p. 712. R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 199. de h. v. Jortini *Scriptural Illustrations* p. 383. conferri iubet. Adde Orion. Etym. p. 141,27.

Ὁμήρῳ] Iliad. κ, 153. ubi v. Schol. Ven.

στύραξ] Duos locos misere in unum confusos diversos praebet Etymol. M. p. 736,28. Σύριγξ σημαίνει τὴν ὀπὴν τῶν μουσικῶν αὐλῶν, καὶ τὸ πάθος, καὶ τὴν δορατοθήκην· ἔστι δὲ κατὰ

179. ΣΑΩ΄ΤΕΡΟΣ. ἰστέον δὲ ὅτι τεσσάρων ὄντων τούτων, τοῦ σάος ὁ ὑγιὴς, τοῦ σῶς κατὰ συναίρεσιν, τοῦ σόος διὰ τοῦ ο μικροῦ Ὁμηρικῶς, καὶ τοῦ σῶος διὰ τοῦ ω μεγάλου, χρῆσις δὲ τοῦ σάος ἐν τῷ σαώτερος. σαώτερος ὥς κε νέηαι, ἤγουν ὅπως ὑγιὴς καὶ ἀνακρωτηρίαστος ἀποστήσῃς.

180. ΣΕ΄ΑΣ· σημαίνει τοὺς σκώληκας, οὗ ἡ ὀνομαστικὴ οὐχ εὕρηται ἐν χρήσει, ἀλλ᾽ αἱ πλαγίαι. παρὰ Ἀριστοφάνει· ὑπὸ σέων καταχαμπτόμενος. ὤφειλε δὲ περισπᾶσθαι, ὡς χῆνες, χηνῶν. ἀλλὰ σεσημείωται καὶ τοῦτο μετὰ τῶν ἄλλων ἐννέα. ἀπὸ ἀχρήστου ὀνομαστικῆς τῆς σεὺς ὅμως τὸ σέας φαίνεται, καὶ τὸ σέες. Λουκιανός· συμβούλους τοὺς σέας ἐπὶ τὴν ἐξέτασιν παραλαμβάνεις.

μίμησιν τȣ̃ γινομένȣ ἤχȣ. De voce adeas intpp. ad Thom. M. p. 812. Bern. Eustath. in Hom. p. 1676.

179. Similia Phav. h. v. p. 1638,7.

Ὁμηρικῶς] Exemplorum nubem effundit Dammius *Lex. Hom.* p. 2219.

σαώτερος ὥς κε νέηαι] Iliad. α, 32. Mox male e Cod. edebatur ἀνεκρωτηρίαστος.

180. Similia Phav. h. v. p. 1638. et v. σέες ibid. lin. 46. Thomas M. h. v. p. 790. Bern. Edidit Villois. ad Apollon. Lex. Hom. p. LXIX.

Ἀριστοφάνει] Lysistr. 731. Lexicon ined. SGM. Cod. Paris. Reg. 345. fol. 136. *recto*: Σέες οὐχὶ σῆτες· καὶ αἱ πτώσεις, σέων, σέεσι· οὕτως Ἀριστοφάνης. Cf. Etym. M. p. 189,44. Pierson. ad Moerid. v. σέες p. 339. In Aristophane hodie editur ὑπὸ τῶν σέων κατακοπτόμενος. Phav. ὑπὸ τῶν σέων καμπτόμενος.

Λȣκιανός] Phav. et Thom. addunt ἐν τῷ πρὸς ἀπαίδευτον

181. ΣΗΚΟ'Σ· ἡ μάνδρα, παρὰ τὸ στήκω, στηκὸς, καὶ σηκός· ὅθεν καὶ σταθμοὶ, αἱ τῶν ζώων ἐπαύλεις. οἱ δὲ ὕστερον καὶ ἐπὶ ναοῦ ἔθεντο τὴν λέξιν, μὴ ἀπαξιώσαντες τοὔνομα, διὰ τὸ καὶ ἐν βωμῷ τοιαῦτα ζῶα ἐπὶ θυσίᾳ ἵστασθαι.

182. ΣΗ'ΡΑΓΞ· ὁ βαθὺς, καὶ κρημνώδης τόπος. σήραγξ, καὶ σήραγγες, αἱ ὑπὸ γῆν ὑπομήκεις ἐκρήξεις, οἱονεὶ φλέβες τινὲς οὖσαι τῆς γῆς, ἃς ὑποτρέχον τὸ ὕδωρ διέξοδον ζητεῖ. ἐντεῦθεν σηραγγώδης τόπος εἴρηται ὁ κοῖλος καὶ διατετρημένος, ἀπὸ τοῦ σεσηρέναι. κλίνεται σήραγξ σήραγγος, τὰ τῆς γῆς χάσματα. σηραγγώδεα δὲ, ἢ σηριγγώδεα, χαῦνα, ἀραιὰ, πολλοῖς τρήμασι διειλημμένα. ταῦτα δὲ τὰ τρήματα σήριγγες, ἢ σήραγγες ὀνομάζονται. καὶ τὸ τοιοῦτον σῶμα σηριγγῶδές τε, καὶ σηραγγῶδες.

183. ΣΙ'ΛΛΟΙ· τὰ σκώμματα, κατὰ τροπὴν τοῦ τ εἰς σ, τίλλοι τινές. τίλλειν δὲ τὸ σκώπτειν, ὡς Ἀνακρεών· τίλλει τοὺς κυάμους ἀσπιδιώτης, οἷον

καὶ πολλὰ βιβλία ὠνήμενον. Locus est T. 3. p. 99. Reitz., ubi editores pro παραλαμβάνεις, quod praeter Philemonem et Phav. et Thom. tuentur, frustra παραλαμβάνοις desiderant.

181. Phav. h. v. p. 1643,11. Edidit Villois. ad Apollon. Lex. Hom. p. 716.

182. Phav. h. v. p. 1644,15. 21.

183. Id. h. v. p. 1648,34. Etym. M. p. 713,7., qui mox ἐπισκώμματα.

Ἀνακρέων] Fragm. 67. p. 398. ed. Fischer.

σκώπτει καὶ χλευάζει. δηλοῖ δὲ καὶ χλευαστικὸν ποίημα· παρὰ τὸ διασείειν τοὺς ἴλλους, καὶ διασύρειν τῷ σχήματι τῶν ὀφθαλμῶν. ἴλλοι γὰρ λέγονται οἱ ὀφθαλμοὶ, καὶ σιλλαίνειν τὸ στραβίζειν. ὁ γὰρ σίλλος λοιδορίας καὶ διασυρμοὺς πεφεισμένως ἀνθρώπων ἔχει· μέλος δέ τι τοῦτ' ἐστί.

184. ΣΙΝΑΠΥ οὐδεὶς τῶν Ἀττικῶν ἔφη, οὐ μὴν οὐδὲ τὸ σίνηπι. ὃ λέγεται οὕτως, ἐπειδὴ σίνεται, φησὶν ὁ Δειπνοσοφιστὴς, τὰς ὦπας ἐν τῇ ὀδμῇ· καθὰ καὶ κρόμμυον, δι' οὗ τὰς κόρας μύομεν. ὅτι δὲ ἐκ τοῦ σίνηπί ἐστι καὶ ῥῆμα κωμικὸν σιναπῶ, οἷον, τὸ θυγάτριόν μου σεσινάπηκε διὰ τῆς ξένης, ἤγουν ἐδριμύξατο, ὁ αὐτὸς ῥήτωρ δηλοῖ.

οἷον σκώπτει] Dubitari non potest, quin pro οἷον legendum sit ἤγουν vel ἤτοι, licet illud eodem cum vitio tueantur et Etymologus et Phavorinus.

184. Phav. h. v. p. 1649,15. Edidit Villois. ad Apollon. *Lex. Hom.* p. LXIX. Athenaei locum p. 366. D. (T. 3. p. 353. ed. Schweigh.) confert R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 199.

σίνεται] Villoisonum σύρεται edentem falli egregie demonstravit Bastius *Commentat. Palaeogr. post Schaeferi Gregorium* p. 726. sq. Eandem vocis σίνηπι etymologiam tradit Etym. M. p. 713,40.

τὸ θυγάτριόν etc.] Sunt verba Xenarchi, ut tradit Athenaeus l. c. Mox non defuere qui pro σεσινάπηκε Athenaei rescribi iuberent σεσινάπικε, quos Casaubonus olim, et nunc Philemo satis refutat: quod monendum denuo fuit, quum idem nuper etiam Schneidero in Lexico h. v. placuisse viderim.

ἤγουν ἐδριμύξατο] Villoisonus οἷον ἐδρ. ediderat, quod iusta

185. ΣΙΣΥΡΑ· χλαίνης εἶδος εὐτελοῦς, οἷον ἐξωμὶς, ἢ ἁπλοῒς, ἤ τι τοιοῦτον· οἷον.

χειμῶνος ὄντος τρεῖς σισύρας ἀφείλετο.

τινὲς δὲ ἱμάτιον τραχὺ, καὶ παχὺ περιβόλαιον, ἀγροικικὸν, δουλικὸν, παλαιόν. ἢ χιτὼν δερμάτινος· ἡ σισύρα καλεῖται παρά τισιν ἡ βαπτή. ἔστι δὲ περιβόλαιον ἐκ δερμάτων συνεῤῥαμμένων προβάτων ἐχόντων τὰ ἔρια. οἱ δὲ ἀκριβέστεροί φασι χλαῖναν παλαιὰν εἶναι ἁπλοΐδα· τὴν αὐτὴν δὲ καὶ σισύραν καὶ σισύρναν καλοῦσιν.

186. ΣΚΕΥΗ΄· ὀξυτόνως, τὸ ἔνδυμα, ὅθεν καὶ σκευάζομαι, τὸ ἐνδύομαι. σκεύη δὲ, τὰ εἰς ὑπηρεσίαν ἐπιτήδεια, οἷον λέβητες καὶ χύτραι, καὶ τὰ

reprehensione Bastius in *Bredovii Epist. Paris.* p. 56. animadvertit, Villoisonum praeterea monens, quum scribendi compendia vocularum οἷον et ἤγουν et ἤτοι ignoraret, in Philemonis fragmentis edendis ad idem scopulum ter appulisse.

185. Phav. h. v. p. 1650,59. sq. De voce exposuit post alios Schol. Theocriti 5,15. Plura dabit Ruhnkenius ad Timaeum p. 231. Cuius poetae versus allatus sit, me fugit.

186. Phav. h. v. p. 1656,36. 47. Grammatici incerti, Manuelis Moschopuli, ut videtur, Epimerismi ined. Cod. Reg. Paris. 1698. fol. 80. *verso*: Σκεύη δὲ λέγονται τὰ εἰς ἑτέραν ὑπηρεσίαν ἐπιτήδεια, οἷον λέβητες, χύτραι· καὶ ἁπλῶς τὰ ἐν τῷ οἴκῳ ἀγγεῖα· λέγονται καθολικῶς σκεύη πάντα τὰ ἐργαλεῖα καὶ τὰ ὄργανα, οἷον σκεύη χαλκέως, ἰατροῦ, ἁλιέως, τέκτονος, στρατιώτου καὶ τῶν ὁμοίων. σκευὴ δὲ ἡ στολὴ τῶν ἐν ταῖς σκηναῖς, καὶ ᾗ χρῶνται οἱ στρατιῶται ἐν τῷ πολέμῳ, καὶ ἡ τῶν κυνηγετούντων, ᾗ προσήκει χρῆσθαι αὐτοὺς κυνηγετοῦντας. ἀποσκευὴ δὲ λέγεται ἡ κοινῶς κατοῦνα, ἤγουν τὰ πρὸς ὁδὸν χρησιμεύοντα σκεύη· ἀφ᾽ οὗ σκευοφόροι, οἱ τὴν ἀποσκευὴν φέροντες.

τοιαῦτα. καὶ σκευὴ, ἡ πανοπλία. σκεῦος δὲ λέγεται παρὰ τὸ σχῶ, τὸ κρατῶ, καὶ φυλάττω· σχεῦος, καὶ σκεῦος ἢ παρὰ τὸ κεύθω, τὸ κρύπτω.

187. ΣΚΟΡΠΙ'ΟΣ *σημαίνει τρία· τὸν χερσαῖον, καὶ γίνεται παρὰ τὸ σκορπίζειν τὸν ἰόν· καὶ τὸν θαλάσσιον, καὶ γίνεται ἐκ τοῦ πλήττειν, καὶ τὸν ἰὸν ἐπιβάλλειν, ἢ παρὰ τὸ σκαιῶς ἕρπειν. σημαίνει καὶ τὸν ἀστέρα, καὶ λέγεται ἀπὸ τῆς πρὸς τὸν χερσαῖον ὁμοιότητος, ἐπειδὴ ὅτε ἐναντίος ἐστὶν ὁ ἥλιος, τότε τὰ σπέρματα ἐπὶ τὴν γῆν σκορπίζομεν σπείροντες.*

188. ΣΚΟ'ΤΙΟΣ· *ὁ μὴ φυσικὸς υἱὸς, ἤγουν ὁ νόθος, ᾧ ἐναντίον ὁ γνήσιος, ἤγουν ὁ ἐκ γαμετῆς. υἱοθετὸς δὲ, ὁ θετὸς υἱός.*

189. ΣΚΥ'ΤΟΣ· *τὸ δέρμα, ὅθεν καὶ σκυτοδέψης. παρὰ τὸ ξύω, ξύτος· εἶτα διαλύσει τοῦ ξ, καὶ ὑπερθέσει, γίνεται σκύτος, τὸ ξυόμενον· οὐδὲν γὰρ οὕτω ξύεται. ἢ παρὰ τὸ σχίζω, σχίτος· καὶ*

187. Phav. h. v. p. 1662,5. Etym. M. p. 719,20.

188. Similia Phav. ibid. lin. 20. In Philemone mox *μὴ* ante *φυσικὸς* delevimus. Lexicon ined. cod. Reg. Paris. 2562. fol. 235. *versa*: *Σκότιος ὁ φυσικὸς υἱὸς, ἤγουν ὁ κοινῶς κόπελος, ᾧ ἐναντίον ὁ γνήσιος, ἤγουν ὁ ἐκ γαμετῆς· τῷ δὲ γνησίῳ ἐναντίον ὁ νόθος, ἤγουν ὁ υἱοθετός. καὶ σκότιοι μῦες, οἱ ἐν νυκτὶ εἰωθότες ἀναστρέφεσθαι ἐπὶ ζητήσει τροφῆς.* De spuriorum filiorum apud Graecos nominibus adeas Schol. Eurip. Alcest. 1001. Schol. Ven. et br. Iliad *δ*, 499. Etym. Gudian. p. 410,27. Heynii *Obs. in Iliad.* T. 5. p. 187.

189. Phav. h. v. p. 1664,8. Etym. M. p. 720,30., qui uterque post verba *τοῦ τραχήλου δέρμα* addunt *ὡς Πετρώνιός φησι.*

σκύτος, κατὰ ἐναλλαγὴν καὶ τροπήν. ἐσχισμένον γάρ ἐστιν ἅπαν. σκύτος δὲ λέγεται πᾶν τὸ μεταξὺ τῶν τενόντων τοῦ τραχήλου δέρμα· καὶ ὁ νωτιαῖος μυελός. οἱ δὲ, τὸν μεταξὺ τῶν ὀφρύων καὶ τοῦ μετώπου τόπον. οἱ δὲ, τὸ ἰνίον· ὅπερ ἐπισκύνιον καλοῦμεν. ἄλλοι δὲ, τὸ τῆς κεφαλῆς δέρμα. παρ' ὃ καὶ σκύτος εἴρηται ἡ κεφαλή.

190. ΣΜΕΡΔΑΛΕΌΣ· ὁ καταπληκτικὸς, ἀπὸ τοῦ μέρδω, τὸ βλέπω, καθά φασιν οἱ παλαιοί. καὶ ὁ δράκων αὐτὸς ὁμοίως ἀπὸ τοῦ δέρκω λέγεται. λέγεται δέ ποτε καὶ ἐπὶ τοῦ ἁπλῶς καταπληκτικοῦ ἡ λέξις, οἷον ὅτε εἴποι, σμερδαλέον κονάβησαν· καὶ, σμερδαλέον ἐβόησε. τὸ δὲ σμερδαλέον καὶ σμερδνὸν λέγεται. καθίσταται δὲ ἡ λέξις οὕτω· μερίζω, καὶ κατὰ συγκοπὴν μέρζω, καὶ Δωρικῶς μέρδω, τὸ πανταχοῦ μερίζω, καὶ διαπεταννύω τὴν ὄψιν· καὶ πλεονασμῷ τοῦ σ, σμέρδω.

191. ΣΜΗ͂ΝΟΣ· οὐ μόνον ἐπὶ πλήθους λέγεται μελισσῶν, ἀλλὰ καὶ τὸ σίμβλον, ἤτοι τὸ ἀγγεῖον, ἐν ᾧ τὸ μέλι ἀποτιθέασιν αἱ μέλισσαι· σμῆνος καλεῖται καὶ ἑσμὸς, μετὰ δασέος πνεύματος, ὡς δηλοῖ παρὰ Ἀριστοτέλει ὁ ἀφεσμός.

190. Phav. h. v. p. 1665,29.

σμερδαλέον κονάβησαν] Iliad β, 334. π, 277.

σμερδαλέον ἐβόησε] Phav. rectius δ' inserto, ad exemplar Iliad. ϑ, 92. Odyss. ϑ, 355. ω, 536.

191. Phav. h. v. ibid. lin. 51. Eustathius ad Iliad β. p. 178,18.

Ἀριστοτέλει] H. A. 9,27. (40.), ubi Schneidero pro ἀφεσμὸς

192. ΣΜΩ͂ΔΙΞ· ὁ ὕφαιμος μώλωψ. ὑποτρέχοντος γὰρ αἵματος κατ' ὀλίγον ἐξώδηκε. καὶ γίνεται ἀπὸ σμῶξαι, ὥς φασιν οἱ παλαιοὶ, ὅπερ κατὰ διάλεκτον τὸ πλῆξαι δηλοῖ· ἢ ἀπὸ τοῦ μῶλος, ἡ κακοπάθεια, τροπῇ τοῦ λ εἰς δ· ἢ οἱονεὶ σμῶδιξ, ἤγουν ὕφαιμος οἴδησις, ὡς τὸ, σμῶδιξ ἐξυπανέστη, ἤγουν κάτωθεν εἰς εὐθύ. δηλοῖ γὰρ ἐνταῦθα ἡ ὑπὸ τὸ κάτωθεν· ἡ δὲ ἐξ, τὸ εἰς εὐθύ· ἡ δὲ ἀνὰ, τὸ εἰς ὕψος· ὡς καὶ ἐν τῷ ὑπερεξαναδύς.

193. ΣΟΌΣ· παρὰ τῷ Ποιητῇ ἀεὶ συστέλλει τὴν παραλήγουσαν, ὡς ἀπὸ τοῦ σέω, τὸ ὁρμῶ, ὃ προςλήψει τοῦ υ γίνεται σεύω. καὶ ἔστι σόος οἱονεὶ ὁ τὰς φυσικὰς ὁρμὰς ἔχων. ἀκολούθως δὲ καὶ τὸ λαοσσόος Ἀθηνᾶ καὶ αὐτὸ συστολὴν ἔχει τῆς πα-

e Cod. Med. *αὐτῶν ἐσμὸς* edenti iure obloquutus nuper est E. G. Barkerus in Wolfii *Analect. Litt.*, fasc. 3. p. 67., cui vulgatam scripturam defendenti iam Philemonis auctoritas accedit.

192. Phav. h. v. p. 1666,54. Cf. Etym. M. p. 721,20. Vulgo erat ΣΜΩ͂ΔΙΓΞ, quod mutavimus Etymol. Gudian. p. 506,44. sequuti, ubi habes: *σμῶδιξ ὄνομα ῥηματικόν· ἔστι δὲ τὸ δι ξ βραχὺ, ἐπειδὴ οὐδέποτε τὸ ι καὶ υ πρὸ τοῦ ξ εὑρίσκονται φύσει μακρὰ, εἰ μὴ λόγῳ ἀρχούσης παράγονται, ὡς τὸ ἰξεύσω, ἴξευον.* In Cod. est *σμώδιγξ.*

οἱονεὶ σμῶδιξ] Ita Codex: editum *οἱονεὶ αἰσμώδιγξ*; Phav. *οἱονεὶ ἡ σμῶδιγξ.*

σμῶδιξ ἐξυπανέστη] Iliad. *β*, 267.

σμῶδιξ δ' αἱματόεσσα μεταφρένου ἐξυπανέστη.

193. Phav. h. v. p. 1668,6.

Ποιητῇ] V. ad §. 179.

λαοσσόος Ἀθηνᾶ] Cod. et Phav. *λαοσόος*, ut etiam mox

ϱαληγούσης. οὕτω δὲ καὶ παϱὰ Θεοκϱίτῳ τὸ δοϱυσσόος Κάστωϱ· καὶ, δύσσοα θϱέμματα. ἰστέον δὲ καὶ τοῦτο, ὅτι καὶ ῥῆμά ἐστι σόω, διὰ τοῦ ο̄ μικϱοῦ, οὗ τὸ πϱοστακτικὸν σούσθω, παϱὰ Σοφοκλεῖ, ἐκ τοῦ σοέσθω συναιϱεθέν. ἐντεῦθεν δὲ καὶ τὸ ἀπέσσουα, Δωϱικόν. ἐκ τοῦ αὐτοῦ, σῶς, κϱάσεως γενομένης τῶν δύο ο̄ο̄ εἰς ω̄ μέγα, ὡς ἐν τῷ πϱόοϱα πϱῶϱα· οἷον, νῦν τοι σῶς καὶ αἰπὺς ὄλεθϱος. ἢ καὶ ἀπὸ τοῦ σάος, ἐξ οὗ τὸ σαώτεϱος, γίνεται κα-

δοϱισσόος et δυσόα. Respicit Grammaticus Iliad. ν, 128. Ἀθηναίη λαοσσόος, quod sua id est cummuni dialecto corrupit, in qua pro Ἀθήνη et Ἀθηναίη dicebatur Ἀθηνᾶ, adnotante Schol. Barocc. Sophoclis Aiac. 12. p. 126. Erf.: nisi forte Philemo Zenodoti lectione a Schol. Venetis tradita usus esse putandus est in Iliad. β, 156. Ἀθηναίη [vulg. perperam Ἀθηναίῃ] λαοσσόος vulgatae praeferentis.

Θεοκϱίτῳ] Idyll. 22,136 δοϱυσσόε Κάστωϱ. Quod statim sequitur δύσσοα θϱέμματα, etiam ad Theocritum pertinere suspicor, qui 4,45. habet:

θαϱσίω· βάλλε κατῶθε τὰ μοσχία· τᾶς γὰϱ ἐλαίας
τὸν θαλλὸν τϱώγοντι τὰ δύσσοα.

Σοφοκλεῖ] Aiac. 1301. Erf.

φησὶ παϱεῖναι, σούσθω, βάτω,

quod etiam Eustathius ad Iliad. α. p. 47,17. et ad Odyss. π. p. 590,36. citat. Quem Sophoclis locum non potest esse dubium respici ab Hesychio h. v. T. p. 1238., ubi hodie editur Σοῦσο· ἴθι, ὅϱμα. Ac Scholiasta Sophoclis similiter: Σούσθω, ὁϱμάσθω.

ἀπέσουα] Cf. Valcken. ad Theocr. Adoniaz. p. 264. (p. 88. ed. Berol.)

νῦν τοι σῶς καὶ αἰπὺς ὄλεθϱος] Locus est Odyss. ε, 305., ubi rectius editur νῦν μοι σῶς αἰπὺς ὄλεθϱος.

τὰ κρᾶσιν σῶς· ὧ προστεθέντος τοῦ ο μικροῦ ἐν τῇ ληγούσῃ, γράφεται μετὰ παραληγούσης μακρᾶς παρὰ τοῖς ὕστερον τὸ σῶς· οὐ μὴν παρὰ τῷ Ποιητῇ.

194. ΣΟΡΟ'Σ· παρὰ τὸ ἔσω ὠρεύειν, ἢ ὀρεύειν, ὅ ἐστι φυλάσσειν τὸν τεθέντα. ἅπαξ δὲ εἴρηται τῷ Ποιητῇ. ἀφ' οὗ καὶ σορέλλην παρὰ 'Αρι-

194 Similia Phav. h. v. p. 1668,32. Eustath. in Iliad. ψ. p. 1289,15.

ὠρεύειν ἢ ὀρεύειν] Ita de meo dedi pro vulg. ὀρούειν ἢ ἱερύειν, absona omnino. Etymolog. Gudian. p. 520,18. Σωρὸς — παρὰ τὸ ἔσω ὠρεῖν, ὅ ἐστι φυλάττειν, et mox Σωρεία ἐκ τοῦ σῶ [lege ἔσω] καὶ τοῦ ὠρῶ, τὸ φυλάσσω. Rem conficit Orio Etym. p. 142,14. Σορός· ἀπὸ τοῦ ἔσωθεν ὠρεύειν καὶ [f. ἤγουν] φυλάττειν τὰ σώματα. Eandem vocem redde Cornuto de N. D. 1. p. 139. ubi Galeus edi iussit ἔνιοι δέ φασιν ἀπὸ τȣ̃ ὁρᾶν αὐτὸν, ἢ ὀρέγειν τὰ πάντα, ὅ ἐστι φυλάττειν, οὐρανὸν καλεῖσθαι, quae insana sunt omnino, corrigique potuissent e Cod. Oxon. Lege mecum ἔνιοι δέ φασιν ἀπὸ τοῦ ὠρεῖν αὐτὸν ἢ ὠρεύειν τὰ πάντα etc. Quam emendationem verbis c. 29. ὑφ' ὧν τὰ ἀγαθὰ ὠρεύεται καὶ φυλάττεται firmatam posthac vidi etiam Villoisono MS. probari, ab eoque auctoritatem Codicum plerorumque proferri, veluti Parisinorum Reg. 2551. 2860. 3052., Venetorum S. Marci 490. 513. 531. et Florentini Bibl. Laur. 9. plutei 60. Cod. Reg. Paris. 2720. ὀρεῖν αὐτὸν ἢ ὀρεύειν.

Ποιητῇ] Iliad. ψ, 91.

σορέλλην παρὰ 'Αριστοφάνει] Versus duos, qui huc pertinent, e deperdita Comici fabula, οἱ Δαιταλεῖς inscripta Brunckius Fragm. III p. 237. e Galeno protulit, emendatiores quidem, etsi non emendatissimos. Priori enim versu legas

ἅλις, σορέλλην, καὶ μύρον καὶ ταινίαι,

altero,

ἰδȣ̀, σορέλλην· τοῦτο παρὰ Λυσιστράτȣ.

στοφάνει, σκῶμμα εἰς γέροντα. ἐξ αὐτοῦ καὶ σοροπηγὸς, πρὸς ὁμοιότητα τοῦ ναυπηγός. δηλοῖ δὲ ἡ σορὸς καὶ αὐτὴ καθ' αὑτὴν γέροντα, σκωπτικῶς, ὡς δῆλον ἐκ τοῦ γράψαντος τὸ, γηράσασα καὶ ἤδη σορός. τοῦ δὲ σορέλληνος σαφέστερον εἰς σκῶμμα τὸ τυμβογέρων παρὰ τῷ Κωμικῷ.

Genuina enim vocis scriptura est σορέλλην, non σορέλλη: v. Albertum ad Hesych. h. v. T. 2. 1236.

σκῶμμα εἰς γέροντα] Addit Phav., id quod notandum, ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ, nempe Pausaniae.

σοροπηγός] Exstat vox apud Aristoph. Nub 864. Herm. Mox ἡ σορὸς de sene lusum habes apud eundem in Vesp. 1356.

τὸ τυμβογέρων παρὰ τῷ Κωμικῷ.] De Aristophanis locis, quos Philemo respexerit, non longe quaerendum est, quum nemini non in mentem veniant Nub. 706 et Lysistr. 335., ubi etsi hodie vulgetur τυφογέρων, idque Scholiasta Lysistratae glossa τετυφωμένους γέροντας satis muniat, ita ut de scriptura locorum Aristophaneorum dubium esse vix possit, tamen tantam hoc Aristophanis vocabulum habet similitudinis speciem cum lectione Philemonis, ut unam eandemque esse utramque vocem, nobis quidem persuasum sit. Atque collatis cum illa duobus Euripidis locis, Med. 1205. Pors.

τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
τίθησιν;

et Heraclid. 165. sq.

ἢ κακὸν λόγον
κτήσει πρὸς ἀστῶν, εἰ γέροντος οὕνεκα
τύμβου, τὸ μηδὲν ὄντος, ὡς εἰπεῖν ἔπος,

probabilis videbitur suspicio, ne mira, nec satis perpensitata Euripidis dictio γέρων τύμβος acerrimum Tragici censorem adverterit, ut eam vocabulo recenter in hunc finem ficto τυμβογέρων perstringeret. Patet tamen corruptelam, si

195. ΣΠΕΙ͂ΟΝ· τὸ σπήλαιον. σπύλωνες δὲ, οἱ πρὸς τῇ βάσει λίθοι· καὶ τῆς νεὼς σκεῦός τι· καὶ σύστρεμμα ἐκ σχοινίου· καὶ εἶδος ἱματίου γυναικείου εὐμεγέθους. εὑρήσεις δὲ καὶ γενικὴν σπείους, ἀπὸ τῶν εἰς ο̄ς̄ οὐδετέρων. ἀεὶ γὰρ ἐντελῶς λέγεται τείχεος, σάκεος. τὸ δὲ αἴτιον, ἡ εὐθεῖα καθὸ σπέος, καὶ δέος, εἰ προσέλαβεν ἡ γενικὴ ἕτερον ε̄, σπέεος, καὶ δέεος, κακόφωνον ἂν ἐγένετο. ἔνθεν ἐποίησεν δέους, καὶ σπέους. καὶ αὗταί εἰσι μόναι παρὰ τῷ Ποιητῇ εἰς ο̄ς λήγουσαι. καὶ πλεονασμῷ τοῦ ῑ, δείους, καὶ σπείους.

196. ΣΠΗ'ΛΑΙΟΝ· παρὰ τὸ σπῶ, τὸ κατασπῶ, καὶ τὸ λάας, ὁ λίθος. σπήλαιον γὰρ οὐδὲν ἄλλο ἐστὶν, ἢ λίθος κατεσπασμένος. καὶ σπήλιγξ, ὑποκοριστικῶς, ἡ ἐσπασμένη λάϊγξ, ἤτοι λιθὶς, ἄνευ τοῦ γ̄ λάϊξ· ὅθεν καὶ ἄμεινον γράφεται διὰ τοῦ ῑ. τροπῇ τοῦ δίχρόνου εἰς δίχρονον, διὰ τοῦ ῡ σπήλυγξ γράφεται.

197. ΣΤΑ'ΘΜΗ σπαρτίον ἐστὶ λεπτὸν, ὃ μίλτῳ κεχρισμένον, ἢ ἑτέρῳ χρώματι, γραμμὰς ἄγει

qua laudatis Aristophanis locis inhaeret, esse antiquissimam, quum in Philemone de mendo cogitare, nulla omnino caussa sit.

195. Phav. h. v. p. 1671,52.

δείους] Iliad. ο, 4. κ, 376. Σπείους exstat Odyss. μ, 93. et alibi. V. Damm. *Lex. Hom.* p. 2215.

196. Phav. h. v. p. 1673,28. Etym. M. p. 723,55.

197. Phav. h. v. p. 1675,54. Edidit Cangius v. σπάτιον,

τῇ ἑκατέρωθεν τάσει, δι' ὧν τὰ ξύλα εὐθύνονται. Φέρεται δὲ παροιμία ἐξ αὐτῆς, τὸ στάθμης ἀκριβέστερος· ὡς εἴ τις εἴποι, ὀρθότερος τῆς ὀρθότητος, ἢ κανόνος εὐθύτερος. ὁ δὲ τόνος τῆς στάθμης συντελεῖ τι εἰς τὴν κολώνην. ὡς γὰρ σταθμὸς, στάθμη· οὕτω καὶ κολωνὸς, κολώνη· ὁμοίως καὶ ὀρθὸς, ὀρθή. οὐ μόνον δὲ ἡ ῥηθεῖσα παροιμία ἐκ τῆς τεχνικῆς εἴληπται στάθμης, ἀλλὰ καὶ ἕτεραι, οἷον τὸ λευκὴ στάθμη, ἀντὶ τοῦ ἄδηλος στάθμη, κατὰ Παυσανίαν. οὐ γὰρ ἀκριβῶς διαφαίνει ὀρθότητα ἡ λευκὴ στάθμη. διὸ κεῖσθαι ἡ παροιμία λέγεται ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων, ἢ ἐπὶ τῶν μηδὲν συνιέντων· οἷον

τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι
οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴν στάθμην.

quem mox σπάτιον pro σπάρτιον vulgantem notat Boissonade ad Herodiani Epimerism. p. 94.

τοῖς μὲν λόγοις τοῖς σοῖσιν etc.] Sunt Sophoclis verba e dramate satyrico, quod vulgo Κυδαλιών, vel Κιδαλιών perperam pro Κηδαλιών inscribitur, repetita a Suida v. λευκὴ στάθμη T. 2. p. 433., unde Brunckius inter fragmenta poetae suo loco retulit. Suidae auctoritate usus priorem versum in Philemone emendavi, in Codice ita decurtatum τοῖς σοῖς λόγοις οὐ τεκμαίρομαι. Contra altero versu, quum τεκμαίρομαι passiva significatione usurpari non videatur, Suidae lectione

οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη

vulgatam Philem. praestare arbitror, cuius veritas e sequentibus ipsius verbis evidenter apparet, admisso nempe eo significatu verbi τεκμαίρεσθαι, quem post Valckenarium ad Eurip. Phoen. 186. p. 207. diligenter exposuit Baehrius in *Creuzeri Melet.* fasc.

καὶ ὅρα, ὡς οὐ πάντῃ ἀσφαλῶς ἡ τοιαύτη γραφὴ ἔχει. ὡς γὰρ ἐν λευκῷ λίθῳ οὐκ ἄν τις τεκμήραιτο στάθμην λευκήν· οὕτως οὐδ᾽ ἐν μέλανι μέλαιναν, ἢ ἐν ἐρυθρῷ ἐρυθράν, καὶ ὁμοίως ἐπὶ τῶν λοιπῶν χρωμάτων. ἑρμηνεύεται δὲ ἡ στάθμη παρὰ τῶν παλαιῶν, κανὼν, γνώμων. ἦν δὲ ἰσαστικὴ στάθμη καὶ ἐν θεάτροις τῶν δρομέων.

198. ΣΤΑΘΜΟ´Σ· ἡ ἔπαυλις, ἣν Σοφοκλῆς μεταπλάσας σταθμὰ λέγει. ὀξύνεται δὲ κανόνι τοιούτῳ· τὰ εἰς μος λήγοντα, ἔχοντα πρὸ τοῦ μ̄ τὸ θ̄, ὀξύνεται· μηνιθμός· πορθμός· σκαρθμός· ἰσθμός. τὸ κρῆθμος δὲ βαρύνεται. παρὰ δὲ Λυκόφρονι σταθμοὶ, αἱ ἐν ἀγροῖς καταγωγαί. καὶ ἐκ τούτου μὲν συντεθεῖται τὸ βούσταθμον. ἐκ δὲ τοῦ δηλοῦντος ἁπλῶς τόπον στάσεως, τὸ ναύσταθμον εἴρηται. καὶ ὅλως σταθμοὶ, αἱ ἀγροικικαὶ κατοικίαι. πολλὴ δὲ

3. p. 31. Cf. Heynii *Observ. in Iliad.* η, 70. T. 5. p. 321. Ceterum apposite huc facit Aristaenetus Ep. 1,28. οὐδὲν εὗρον παντελῶς διαγνῶναι· καθάπερ ἐν λευκῷ λίθῳ στάθμην λευκὴν διατείνων. De ipso proverbio adeas Mercerum ad h. l. Aristaen., et Heindorf. ad Plat. Charm. 3. p. 58. Wolf. ad Libanii Epistolar. adhuc non editar. Centur 34. p. 78. Adde Sophoclis Oenomai fragm. III, 5. Brunck. (apud Athen. p. 564.)

198. Phav. h. v. p. 1676,23. Sophoclis locus est Oed. T. 1139. [1130. Erf.], quod Brunckius *Lex. Sophocl.* h. v. p. 740. allato hoc Philemonis loco tum temporis adhuc MS. monuerat.

Λυκόφρονι] v. 272 et 290. Phav. *ἐν δὲ τοῖς ἀντιγράφοις τοῦ Λυκόφρονος.*

δὲ χρῆσις παρὰ τῷ Ποιητῇ· τίθησι δέ που τὴν λέξιν καὶ ἐπὶ ζυγίου. καὶ μέρος δὲ θυρῶν ἐν Ὀδυσσείᾳ, οἱ σταθμοὶ, οὓς παραστάτιδας ὁ Τραγικός φησιν: αἱ δὲ ἱστορίαι σταθμοὺς οἴδασι λέγειν καὶ τὰς ὡρισμένας, εἴτουν τεταγμένας, ἐνοδίους ἀναπαύλας, τοῖς εἴτε ἱππεῦσιν, εἴτε πεζοδρόμοις· ἃς καί ἀλλαγὰς ἔλεγόν τινες. οὕτω γὰρ τοσοίδε σταθμοὶ ὁδευθῆναι λέγονται πρὸς τινῶν· καὶ τοσούςδε σταθμοὺς εἶναι, ἀπὸ τοῦ δέ τινος τόπου εἰς ἄλλον φαμέν.

199. ΣΤΑΤΟ'Σ Ι'ΠΠΟΣ· ὁ τῆς ἀγέλης ἀποσπασθεὶς, καὶ ἐν φάτνῃ ἐφ' ἱκανὸν στὰς, καὶ ἀνα-

Ποιητῇ] V. Dammii *Lex. Hom.* p. 2259. sq. Attamen quem Homeri locum sequentia respiciant, τίθησι δέ που τὴν λέξιν καὶ ἐπὶ ζυγίου, me adhuc latet: ea significatione, quam memorat Grammaticus, exstat vox apud Aristoph. Ran. 1412.

ἐν Ὀδυσσείᾳ] V. Damm. l. c. p. 2260.

οὓς παραστάτιδας ὁ Τραγικός φησιν] Sophoclis, si hunc quidem Tragicum Philemo dicit, locum reperire mihi adhuc non contigit: nam Oed. Col. 559. huc non pertinet. Mihi quidem haec Grammatici observatio fidei admodum sublestae esse videtur, quum Atticistae vocem παραστάτις, ubi postium significationem gerat, scriptoribus communis dialecti magis quam Atticis usurpari adnotent, de quo vocis usu exposuit Bastius *Epist. Crit.* p. 118. Atque apud Euripidem contra vox παραστὰς aliquot locis obvia est, Phoen. 418. et Androm. 1122., ubi quo minus de vocabulorum commutatione cogitetur, metrum vetat.

οἴδασι] Fuisse credo, εἰώθασι. Sequentia exempli loco adde doctae Bastii de particula εἴτουν animadversioni, in *Epist. Crit.* p. 56. prolatae.

199. Phav. h. v. p. 1677,40.

παυθεῖς. τὸ δὲ τοιοῦτον στῆναι καὶ τὸ ἱπποστάσιον ποιεῖ, καὶ τὸ βουστάσιον, καὶ τὸ βούσταθμον, ἃ ἐν ἁπλότητι σταθμοὶ λέγονται, καὶ σταθμὰ ὡς εἴρηται, κατὰ γένους μεταπλασμόν. καὶ ζωϊκὸν δὲ σηκὸν, ὡς οἷον στηκόν τινα, ἀφ' οὗ καὶ ὁ ναὸς σηκὸς, περὶ ἣν δηλαδὴ ἱερεῖα ἵστανται.

200. ΣΤΑΦΥΛΗ'· ὁ βότρυς. σταφύλη δὲ, ἡ ἐπικαθειμένη τῶν τεκτόνων μόλιβδος, ὡς τὸ, σταφύλῃ ἐπὶ νῶτον ἐΐσας, οὕτως ἴσας καὶ ἀναλόγους τοῖς νώτοις ὥςπερ στάθμῃ. σταφύλη δὲ καὶ ἡ στάθμη λέγεται τῶν τεκτόνων.

201. ΣΤΕΓΑΝΟ'Σ· ὁ στεῤῥὸς καὶ ἐσκεπασμένος, παρὰ τὴν στέγην. λέγεται δὲ στέγανον καὶ τὸ στενώτερον. καὶ στεγανόποδες ὄρνιθες, οἱ ἐν ὕδασι διατρίβοντες, καὶ τοὺς πόδας ἔχοντες στεγανούς. ὡς αἱ μεταξὺ τῶν δακτύλων εὐρυχωρίαι δερμάτια εἰλημμένα εἰσί. καὶ στεγανώματα ἐν τοῖς οἴκοις, ἤτοι τῶν οἴκων τοίχοις, ἤγουν οἱ ἔνδεσμοι. τὸ δὲ στέγη, παρὰ τὴν σὺν πρόθεσιν καὶ τὸ τέγγω, τὸ βρέχω, ἡ ὑπὸ τῶν βροχῶν συντεγγομένη.

202. ΣΤΕΙΛΕΙΗ'· ἡ τοῦ πελέκεως ὀπὴ, εἰς ἣν ἐνείρεται στελεὸς, ὃς καὶ οὐδετέρως τὸ στελεὸν

200. Ibid. lin. 57. Eandem in accentu diversam vocis significationem adnotavit Arcadius de accent. p. 209,17. Plura Schol. br. ad Iliad. β, 765. (272.), quem ipsum Homeri locum Philemo mox laudat.

201. Similia Phav. h. v. p. 1678,23. Etym. M. p. 725,39.

202. Similia Phav. ibid. lin. 48. Conferri iubet Eusta-

λέγεται· καὶ πλεονασμῷ διχρόνου, ὁ στειλειὸς καὶ τὸ στειλειόν. ὅθεν καὶ ἡ στειλειά, δι' ἧς στέλλεται τὸ διϊὸν, ἢ ἐμβαλλόμενον.

203. ΣΥΓΚΡΙΤΙΚΟ'Ν 'Ο'ΝΟΜΑ ἔστι δι' οὗ σύγκρισις γίνεται πρὸς ὁμοφυεῖς, καὶ ἑτεροφυεῖς. ἔχει δὲ τὴν σύγκρισιν πρὸς ἕνα, καὶ πρὸς πολλοὺς, οἷον τιμιώτερος τοῦδε, καὶ τιμιώτερος τῶνδε. συγκρίνειν δέ ἐστι τὸ παρατιθέναι καὶ παραβάλλειν ἓν πρόσωπον ἑνὶ προσώπῳ, ἢ δῆμον ὅλον, ὡς ἓν πρόσωπον ἑνὶ δήμῳ· καὶ ἀποδεικνύναι θάτερον θατέρου ἢ βέλτιον ἢ χεῖρον, ἤ τι τοιοῦτον. ὑπερτιθέναι δέ ἐστι τὸ ἕνα πολλῶν ὑπεράνω τιθέναι, εἴτε κατὰ ψόγον, εἴτε κατὰ ἔπαινον, ἤ τι τοιοῦτον. γίνεται δὲ δή τά τε συγκριτικὰ καὶ ὑπερθετικὰ τῶν ὀνομάτων ἐκ μόνων τῶν ἐπιθέτων, ἃ καὶ τριγενῆ λέγονται· ταῦτα γὰρ μόνα ποιότητάς τινας ἢ ποσότητας μόνον δηλοῦντα, τὸ μᾶλλον καὶ τὸ ἧττον ἐπιδέχεται. ταῦτα δέ ἐστι τὸ σοφὸς, τὸ δίκαιος, τὸ αἰσχρὸς, τὸ μέγας· ἀλλ' οὐχ ὡρισμένα, ὡς τὸ δίπηχυ, τρίπηχυ, καὶ τὰ τοιαῦτα. σοφοῦ γὰρ σοφώτερος τίς ἐστι, καὶ μεγάλου μείζων. λέγομεν τοίνυν ἀπὸ μὲν τῶν ἐπιθέτων, σοφὸς μὲν τὸ ἐπίθετον, σοφώτερος δὲ τὸ συγκριτικὸν, σοφώτατος τὸ ὑπερθετικόν. ἀπὸ δὲ τοῦ φίλου, οὐ φιλώτερος,

thium in Odyss. ε. p. 1531. R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 299.

203. Phav. h. p. 1695,21.

καὶ φιλώτατος· ἀλλὰ φίλτερος, καὶ φίλτατος, κατὰ συγκοπήν. καὶ τὰ μὲν εἰς ος ἐπίθετα οὕτω ποιεῖ τὴν σύγκρισιν, διὰ τοῦ ω μεγάλου, ἢ διὰ τοῦ ο μικροῦ, οἷον ἅγιος, ἁγιώτερος, ἁγιώτατος· ὅσιος, ὁσιώτερος, ὁσιώτατος· ἱερὸς, ἱερώτερος, ἱερώτατος· φιλόσοφος, φιλοσοφώτερος, φιλοσοφώτατος· λόγιος, λογιώτερος, λογιώτατος, καὶ πολλὰ ἄλλα. ἰστέον ὅτι τὰ διὰ τοῦ ωτερος, καὶ ωτατος, εἰ μὲν ἔχουσι τὴν πρὸ τοῦ ω συλλαβὴν βραχεῖαν, διὰ τοῦ ω μεγάλου γράφεται· εἰ δὲ μακρὰν, κἂν τε φύσει, κἂν τε θέσει, διὰ τοῦ ο μικροῦ· φύσει μὲν, οἷον ἰσχυρότερος, ἰφθιμότερος, ἰσχυρότατος, καὶ ἰφθιμότατος· ἀλυπότερος, καὶ ἀλυπότατος· τρανότερος, τρανότατος, καὶ τἄλλα. τὰ δὲ εἰς ους, εἰς ης τὴν ὀνομαστικὴν ἔχοντα, κλινόμενα τριγενῆ, διὰ τοῦ εστερος ποιεῖ τὰ συγκριτικὰ, καὶ διὰ τοῦ εστατος τὰ ὑπερθετικὰ, οἷον ἀληθὴς, ἀληθέος καὶ ἀληθοῦς, ἀληθέστερος, ἀληθέστατος· συνήθης, συνηθέστερος, συνηθέστατος. ἔστι δ' ὅτε καὶ ἀπὸ τῶν εἰς ος, οὐ μόνον διὰ τοῦ ωτερος, ἀλλὰ καὶ διὰ τοῦ εστερος, ὡς ἄφθονος, ἀφθονώτερος καὶ ἀφθονέστερος· καὶ ὑγιεινὸς, ὑγιεινότερος καὶ ὑγιεινέστερος. ἀπὸ δὲ τῶν εἰς ως, ὡς βαρὺς, βαρύτερος ἀπὸ τῆς εὐθείας· ἀλλὰ καὶ ἀπὸ τῆς γενικῆς, τοῦ βαρέως, βαρεώτερος. ταῦτα μέντοι σπανίως εὑρίσκονται. τούτων γε μὴν τῶν εἰς υς ὀνομάτων, τινὰ μὲν ἁπλῆν σύγκρισιν ποιεῖται, διπλῆν δέ τινα· ἔστιν ἃ καὶ τριπλῆν. καὶ

ἁπλῆν μὲν, ὡς τὸ εὐρὺς, εὐρύτερος, εὐρύτατος. διπλῆν δὲ, ὡς τὸ ἡδύς· καὶ γλυκύς· καὶ ὠκύς. ταῦτα μὲν γὰρ οὐ μόνον ἡδύτερος, ἡδύτατος· γλυκύτερος, γλυκύτατος· ὠκύτερος, ὠκύτατος· ἀλλὰ ἡδίων, ἥδιστος· γλυκίων, γλύκιστος· καὶ ὠκίων, ὤκιστος. τούτοις δὲ ὁμοίως καὶ αἰσχρὸς, καὶ ἐχθρός· οὐκ αἰσχρότερος γὰρ καὶ αἰσχρότατος μόνον, καὶ ἐχθρότερος καὶ ἐχθρότατος· ἀλλὰ καὶ αἰσχίων, αἴσχιστος· ἐχθίων, ἔχθιστος. τριπλῆν δὲ, ὡς βραχύς· βραδύς· ταχύς· παχύς· καὶ ἐγγὺς, ἐπίῤῥημα. βραχύτερος γὰρ καὶ βραχύτατος· καὶ βραδύτερος, βραδύτατος· καὶ ταχύτερος, ταχύτατος· καὶ παχύτερος, παχύτατος· καὶ ἐγγύτερος, ἐγγύτατος. καὶ βραχίων δὲ, βράχιστος· βραδίων, βράδιστος, καὶ βάρδιστος ποιηταὶ λέγουσιν, ὡς τὸ κράτιστος, κάρτιστος. ἔστι δὲ καὶ παχίων, πάχιστος· καὶ ταχίων, τάχιστος· καὶ ἔγγιον, ἔγγιστα. καὶ ἔτι βράσσων, παρὰ τὸ βραδύς· δηλοῖ δὲ ἄμφω καὶ τὸ βραχίων, καὶ βραδίων. καὶ θάσσων ταὐτόν ἐστι τῷ ταχίων· καὶ πάσσων, τῷ παχίων· καὶ ἄσσον, τῷ ἔγγιον. πρὸς οἷς καὶ τὸ ῥᾴδιον, ὅπερ οἱ ποιηταὶ ῥηΐδιον λέγουσι, ῥᾷον, ῥᾷστος ποιεῖ. πρὸς μὲν τούτοις καὶ ἕτερά ἐστιν ἐπίθετα ὀνόματα, ἃ ἀφ' ἑαυτῶν μὲν οὐ ποιεῖ, δανείζεται δὲ παρ' ἑτέρων ὀνομάτων ἀῤῥήτων. τὸ

ταχύς] Cod. et Phav. τραχυς, iidemque mox τραχύτατος pro ταχύτατος, utrumque perperam.

βάρδιστος ποιηταὶ λέγουσιν] Iliad. ψ, 530.

μὲν γὰρ καλὸς, τὸ καλλίων, κάλλιστος ἔχει· καὶ βελτίων, βέλτιστος. ὧν τὸ βελτίων οἱ ποιηταὶ βέλτερος λέγουσι· καὶ ἀρείων, ἄριστος· καὶ ποιητικῶς φέρτερος, φέριστος· καὶ λώϊον, λῷστον· καὶ ἔτι συγκριτικὰ μόνα, ὑπερθετικῶν ἔρημα, κρείσσων, καὶ κρέσσων Αἰολικῶς, καὶ ἀμείνων. καὶ τὸ μὲν καλὸς, ταῦτα. τὸ δὲ κακὸς, ποιεῖ μὲν καὶ οἴκοθεν τὸ κακίων, κάκιστος· ἔχει δὲ καὶ τὸ ἔξωθεν τὸ χείρων, χείριστος· ὧν τὸ χείρων οἱ ποιηταὶ χερείων, καὶ χερειότερος, λέγουσι. τὸ δὲ μέγας, τὸ μείζων καὶ μέγιστος. τὸ μικρὸς, τὸ ἐλάττων, ἐλάχιστος· καὶ ἔτι τὸ ἥσσων, δίχα ὑπερθετικοῦ. τὸ πολὺς δὲ, τὸ πλείων, πλεῖστος. καὶ τὸ ὀλίγος, τὰ αὐτὰ τῷ μικρῷ. οὐ μόνον δὲ ἀπὸ ὀνομάτων γίνεται συγκριτικὰ, ἀλλὰ ἤδη καὶ προθέσεων· ὥςπερ ἀπὸ τῆς πρὸ, πρότερός τε καὶ πρότατος, ὅθεν καὶ πρῶτος γίνεται· καὶ ἀπὸ τῆς ὑπὲρ, ὑπέρτερος, ὑπέρτατος. καὶ ἔτι ἀπὸ ἐπιῤῥημάτων, ἐκ προθέσεων καὶ αὐτῶν παρηγμένων· ἀπὸ τοῦ ἄνω, ἀνώτερος, ἀνώτατος· ἀπὸ τοῦ κάτω δὲ, κατώτερος, καὶ κατώτατος· καὶ τοῦ πάρος, παροίτερον, καὶ παροίτατον· καὶ ἔτι ἀπὸ τῆς ἀπὸ, ἀπώτερον, ἀπωτάτω· καὶ ἔτι ἀπὸ τοῦ μάλα, τό τε μᾶλλον, καὶ μάλιστα. καὶ ταῦτα μέντοι

τὸ καλλίων, κάλλιστος] Καλλίων Burn. e coniectura adiecit, cuius neque in Cod. neque in Phav vestigium est. Mox κρείσσων e Cod., denique ὅθεν καὶ πρῶτος pro ὁ κ. πρ. de meo reposui.

ταῦτα. ποιηταὶ δὲ τῇ ἑαυτῶν ἀδείᾳ καὶ πρὸς ταῦτα καταχρησάμενοι, καὶ ἀπὸ συγκριτικῶν συγκριτικὰ ἔπλασαν, καὶ ἐξ ὑπερθετικῶν ὑπερθετικά· καὶ τό, τε ἄρειον, ἀρειότερον προσεῖπον· καὶ τὸ λώϊον, λωΐτερον· καὶ τὸ μεῖζον, μειζότερον· καὶ τὸ ὑπέρτερον, ὑπερτερώτερον· καὶ χερειότερον· καὶ πλειότερον· καὶ τὸ ῥᾷον, ῥᾳότερον· ἔτι δὲ πρὸς τούτοις, καὶ ἀπὸ τοῦ πρῶτος, ὑπερθετικοῦ ὄντος, ἕτερον ὑπερθετικὸν, τὸ πρώτιστος, εἵλκυσαν. τούτοις δὴ πᾶσι τοῖς συγκριτικοῖς, καὶ ὑπερθετικοῖς, τὴν ἀνάλυσιν εἴς τε τὸ μᾶλλον καὶ μάλιστα γενομένην ἴσμεν. σοφώτερον γὰρ ἕτερον ἑτέρου λέγομεν, τὸν μᾶλλον ἐκείνου σοφόν· καὶ σοφώτατον, τὸν μάλιστα σοφόν. ὅθεν δὴ καὶ ταὐτόν ἐστιν εἰπεῖν, σοφώτερος ὅδε τοῦδε, καὶ σοφὸς μᾶλλον τοῦδε· καὶ ἔτι, σοφώτατος ὅδε πάντων, καὶ σοφὸς μάλιστα πάντων. ἔστι δ' ὅτε πρὸς τῷ συγκριτικῷ μᾶλλον τιθέασιν· ὡς Εὐριπίδης ἐν Ἑκάβῃ,

θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος
ἢ ζῶν.

καὶ ἐν τοῖς ὑπερθετικοῖς, Ὅμηρος ὑπερθετικὰ ἐπιῤῥήματα τίθησιν, ὡς τὸ, οἰωνοπόλων ὄχ' ἄριστος, καὶ, πολλὸν ἄριστος. ἐνίοτε δὲ τὸ ὑπερθετικὸν, καὶ

τό, τε ἄρειον, ἀρειότερον προσεῖπον· καὶ] in ed. Angl. omissa, e Cod. et Phav. restituimus.

ἐν Ἑκάβῃ] 381. 382. Pors.

οἰωνοπόλων ὄχ' ἄριστος] Iliad. α, 69. ζ, 176. Mox πολλὸν ἄριστος est Odyss. ο, 520.

συγκριτικὸν ἀντὶ τοῦ ἀπολύτου τίθεασιν, ὡς Εὐριπίδης,

εἰ μὲν γὰρ εἰς γυναῖκα σωφρονεστέραν,

ἀντὶ τοῦ σώφρονα. καὶ ὅταν λέγω, συνετώτατον λόγον εἶπεν ὁ δεῖνα· οὐ γὰρ πάντων συνετώτατον λέγω, ἀλλὰ πάνυ συνετὸν λέγω. δεῖ δὲ τὴν σύγκρισιν, καὶ ὑπέρθεσιν ἐν ἐκείνοις προβαίνειν, ἔνθα καὶ ἄμφω τὰ τιθέμενα πρόσωπα τοῦ αὐτοῦ μετέχει, περὶ οὗ τὴν παραβολὴν ποιοῦμεν· συντάσσεται δὲ τὸ συγκριτικὸν ἢ γενικῇ, ὡς ὅταν λέγωμεν, σοφώτερος ὅδε τοῦδε· ἢ, τοῦ ἢ μεταξὺ τιθεμένου, ὡς τὸ σοφώτερος ὁ δεῖνα τοῦ δεῖνος· καὶ παρ' Ὁμήρῳ, ἀρείοσιν ἠέπερ ὑμῖν ἀνδράσιν ὡμίλησα· ἢ, ὅπερ Ἀττικώτερον, μετὰ τὸ ἢ τῆς κατὰ προθέσεως κειμένης σὺν αἰτιατικῇ, ὡς ὅταν λέγω, γυνὴ μεῖζον ἢ κατὰ γυναῖκα φρόνημα ἔχουσα· καὶ στερεωτέρα ἢ κατὰ γυναῖκα. καὶ μεῖζον τουτὶ τὸ ἔργον, ἢ κατὰ τὴν ἐμὴν δύναμιν. ἔτι τὰ συγκριτικὰ καὶ ὑπερθετικὰ συντάσσονται γενικῇ, οὐ προϋπακουομένων προθέσεων. λέγονται δὲ ἐξαιρέτως συγκριτικὰ μόνα, μὴ περιλαμβανομένων τινῶν εἰς σύγκρισιν, οἷον τὸ κρεῖττον· οὐδὲ γάρ ἐστιν ἑνός τινος κρείττων,

Εὐριπίδης] Orest. 1130. Pors.

ποιȣ̃μεν] Hoc reposui e Cod. pro edito ποιȣ̃μεθα, quod e Phav. sumptum. Eodem modo mox ex eodem fonte celerius quam verius ἢ τοῦ δεῖνα ab editore Britanno haustum erat, quod Codicis lectioni τȣ̃ δεῖνος cedere iussi.

Ὁμήρῳ] Iliad. α, 160. 161.

ἀλλὰ πάντων. ἔτι τὰ τοῦ συγκριτικοῦ ἐπιῤῥήματα μετὰ τοῦ ἢ καὶ τοῦ ἀπαρεμφάτου συντάσσονται, οἷον, χαλεπώτερα ὕβρισεν, ἢ ὥστε δύνασθαι καλῶς ζῆν. ἔστι δ' ὅτε καὶ τοῦ ὥστε λείποντος, οὐδὲν παρὰ τοῦτο ἡ σύνταξις βλάπτουσα, ὡς παρὰ Σοφοκλεῖ· τὸ γὰρ νόσημα μεῖζον ἢ φέρειν. ἐπὶ πάσης συγκρίσεως τρία ἐμφαίνεταί τινα, ἢ πρόσωπα, ἢ πράγματα, καίτοι τῆς συγκρίσεως ὁλοσχερεῖ λόγῳ ἐπὶ δύο γινομένης, οἷον, ἂν λέγω, οὗτος σοφώτερός ἐστιν ἐμοῦ, οὐδὲν ἕτερον λέγω ἢ οὗτος μᾶλλον ἔχει τὴν σοφίαν ἢ ἐγώ· καὶ ἐμφαίνω κἀνταῦθα τρία τινὰ, τοῦτον, καὶ ἐμὲ, καὶ τρίτην τὴν σοφίαν. τὰ συγκριτικὰ ἀντὶ ἁπλῶν οἱ Ἀττικοὶ παραλαμβάνουσιν, ὡς παρὰ Φιλοστράτῳ· πλεόνων ζω-

Σοφοκλεῖ] Aliunde hic Sophoclis, si quidem eius est, versus mihi nondum innotuit.

καὶ τρίτην τὴν σοφίαν] Codex et Phav. articulum omittunt: Burneius καὶ τὴν σοφίαν, minus recte.

Φιλοστράτῳ] Imag. prooemio p. 764. Olear. Mox πλειόνων e Phav. pro πλεόνων dedi: atque ita Olearius concinentibus omnibus quos inspexi Philostrati codicibus. Philemonis praeceptum attinet locus Heronis Spiritalium aptissime hic commemorandus, p. 152. ed. Mathematicorum vett. Parisiis 1693. περὶ μὲν ὖν τῆς τῦ κενῦ φύσεως καὶ ἄλλων πλειόνων οὐσῶν ἀποδείξεων ἱκανὰς εἶναι καὶ τὰς εἰρημένας νομίζομεν, ubi Codex optimus Gudianus, futuro Spiritalium editori summopere adhibendus, cuius lectiones variantes a Schneidero Saxone diligenter olim excerptae inter thesauros Bibliothecae Reg. Berolinensis asservantur, πολλῶν exhibet, cui suprascriptum γρ. πλειόνων. Caeterum commonendus est lector, ὖν Codici laudato deberi.

γράφων, ἀντὶ πολλῶν. πολλάκις καὶ ἁπλοῦν ἀντὶ συγκριτικοῦ, οἷον, ἀγαθὸν, ἀντὶ ἀγαθώτερον. χρῶνται δὲ οἱ Ἀττικοὶ πολλάκις καὶ ὑπερθετικῷ ἀντὶ συγκριτικοῦ· ἀντὶ γὰρ τοῦ εἰπεῖν θηριωδέστερον πάντων, θηριωδέστατον πάντων λέγουσιν. Ἀττικῶν δέ ἐστι καὶ τὸ μετὰ ἁπλοῦ ὀνόματος ἐκπληροῦν συγκριτικὸν ὄνομα, οἷον ἀντὶ τοῦ εἰπεῖν σοφώτερος ὁ δεῖνα τοῦ δεῖνος, εἶπεν ἂν μᾶλλον σοφὸς τοῦ δεῖνος. καὶ πάλιν, μετὰ ἁπλοῦ ὀνόματος, καὶ ὑπερθετικοῦ ἐπιῤῥήματος, δηλοῦν ὑπερθετικὸν ὄνομα, οἷον ἀντὶ τοῦ εἰπεῖν σοφώτατος πάντων, εἴποις ἂν μάλιστα πάντων σοφός. δοκεῖ τὰ ὑπερθετικὰ ἀεὶ γενικῇ πληθυντικῶν συντάσσεσθαι, ὡς παρ' Ὁμήρῳ·

Ἀτρείδη κύδιστε, φιλοκτεανώτατε πάντων.

πρὸς τὰ ὁμογενῆ μέντοι τῷ ὑπερτιθεμένῳ δεῖ τὴν ὑπέρθεσιν γίνεσθαι, ὥςπερ ἐνταῦθα, Ἀτρείδης, ἄνθρωπος ὢν, πάντων ἀνθρώπων φιλοχρημάτων ὑπερτίθεται. ἀλλὰ ἔνθα ἂν μὴ ὁμογενῆ παρατιθέμενα ᾖ, ἀλλ' ἐν πολλῶν μὴ ὁμογενῶν ὑπερτίθηται, συγκριτικῶς τοῦτο προφέρομεν· ὡς ὅταν φῶ, δεινότερον πάντων θηρίων τὸν ἄνθρωπον εἶναι. οὐ γὰρ δεινό-

ἀντὶ πολλῶν] Phavorinum Burneius sequutus ἀντὶ τοῦ πολλῶν. Idem mox cum Codice εἴποι pro nostro εἴποις.

Ὁμήρῳ] Iliad. α, 122.

παρατιθέμενα] Phav. τὰ praefigit. Eodem duce Burn. mox πολλῶν μὴ pro Codicis lectione μὴ πολλῶν restituit, relinquens tamen ὑπερτίθεται.

τατον, ὅτι μὴ δ' ὁμογενῆ τῷ ἀνθρώπῳ ἐστὶ τὰ θηρία. τοῦτο μέντοι τὸ ὑπερθετικὸν ἐνίοτε καὶ ἑνικῇ γενικῇ συντάσσεται, ὅπερ ἐστὶ καινοπρεπὲς, ὅταν ἐμφαντικοῦ πλήθους ᾖ· οἷον, πρεσβύτατος τοῦ Ἑλληνικοῦ ὁ Νέστωρ εἰς Τροίαν ἦλθεν. τὸ γὰρ πλήθους ἢ στράτου δηλοῖ ὃ πλῆθος ἐμφαίνει. καὶ ἄλλως δὲ, ὅταν μὴ πρὸς πρόσωπον οὗπερ ἡ γενικὴ ἐστι παραβάλλεται, ἀλλὰ πρὸς ἄλλα τινὰ τῶν περὶ αὐτὸ, οἷον καὶ τότε ἄριστα ἑαυτοῦ διελέχθη ὁ Νέστωρ. ἔστι δ' ὅτε ὑπερθετικὸν οὐδὲ πρὸς γενικήν τινα ἀποδίδοται, οἷον

ἕσπερος ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ,

ἀντὶ τοῦ εἰπεῖν κάλλιστος τῶν ἀστέρων, κάλλιστος ἀστὴρ εἶπεν, ἀπὸ τοῦ αὐτοῦ ὀνόματος ἀντὶ γενικῆς τὴν εὐθεῖαν μεταβαλὼν, κατὰ δὲ τὴν ἔννοιαν ταὐτόν. ὁ γὰρ κάλλιστος τῶν ἀστέρων ἀστήρ ἐστιν. ἔστι δὲ καί τινα ὀνόματα ἀπολύτως λεγόμενα, ἃ τοσαύτην οἴκοθεν ἔχει τὴν ὑπεροχὴν, ὥστε οὐδὲ δεῖται γενικῆς πρὸς ὑπέρθεσιν ἐλθεῖν, ἀλλὰ αὐτόθεν γενικῇ πληθυντικῶν συντάσσεται. ὡς τὸ διὰ θεάων· καὶ ἔξοχος, καὶ κορυφαῖος ἁπάντων· καὶ μόνος ἁπάντων. ὧν τό τε κορυφαῖος, καὶ τὸ μόνος, ὑπερθετικά ἐστιν, ὅτε ποιεῖ κορυφαιότατος καὶ μονώτα-

ὅτι μὴ ὁμογενῆ] Burn. e Cod. δ' interseruit.

τοῦτο μέντοι τὸ ὑπερθετικὸν etc.] Fallitur igitur Scholiasta Philostrati Heroic. p. 414. ed. Boisson.

ἕσπερος, ὃς κάλλιστος etc.] Iliad. χ, 318.

τος· οὐκ ἀναγκαίως· οὔτε γὰρ τῆς κορυφῆς ἀνώτερόν τι εὑρίσκεται, οὔτε τοῦ μόνον μονώτερον· διὰ τοῦτο οὐ συγκριτικὰ ποιοῦσιν, ἀλλὰ ὑπερθετικὰ μόνα. ἐπεὶ δὲ τὰ μὲν ὀνόματα καὶ συγκριτικῶς προφέρονται, ὡς τοῦ σόφος, σοφώτερος· τὰ δὲ ῥήματα οὐ δύνανται συγκριτικῶς προφέρεσθαι· ἐνταῦθα καὶ τὸ μᾶλλον συμβάλλεται τῷ ῥήματι. ἂν δὲ λέγω, οὗτος μᾶλλον φιλεῖ ἐμὲ, ἢ σὲ, τρία πρόσωπα λέγω· ἂν δὲ λέγω, οὗτος μᾶλλον οἶδε φιλεῖν, ἢ μισεῖν, τρία λέγω, τὸν ἄνθρωπον, τὴν φιλίαν καὶ τὸ μῖσος. δυνάμεθα μὲν οὖν ἐν τῷ, οὗτος γνωριμώτερός ἐστιν ἐμοὶ ἢ σοὶ, τό τε συγκριτικὸν ὄνομα, καὶ τὸ ῥῆμα, εἰς ἓν ῥῆμα συνάψαι, καὶ τὸ μᾶλλον προςθεῖναι, καὶ εἰπεῖν, οὗτος ἔγνωσται μᾶλλον ἐμοὶ, ἢ σοί. καὶ αὖθις, οὗτος μᾶλλον φιλεῖ ἐμὲ, ἢ σέ· τὸ ῥῆμα εἰς ὄνομα καὶ ῥῆμα ἀναλῦσαι, καὶ τὸ μᾶλλον ἀποβάλλειν, οἷον, οὗτος προςφιλέστερός ἐστιν ἐμοὶ, ἢ σοί. δυνάμεθα δὲ καὶ τὸ συγκριτικὸν ὄνομα καὶ τὸ μᾶλλον θεῖναι, οἷον, οὗτος σοφώτερός ἐστιν ἐμοῦ μᾶλλον ἢ σοῦ. ἔνθα καὶ δύο συγκρίσεις ὁμοῦ γίνονται· μία μὲν, ἡ τούτου πρὸς ἡμᾶς ἀμφοτέρους· ἑτέρα δὲ, ἡ ἐμοῦ πρὸς σέ. ἔνθα καὶ οὐ δυνάμεθα τό τε συγκριτικὸν καὶ τὸ ἐστὶν ἓν ῥῆμα ποιῆσαι, καὶ μετὰ τοῦ μᾶλ-

προφέρονται] Ita e Cod. et Phav. pro edito προφέρεται. Eodem modo Burn. mox lectionem et Codicis et Phav. ἀποβάλλειν mutavit in ἀποβαλεῖν.

λον εἰπεῖν, οὗτος σεσόφισται μᾶλλον ἐμοῦ ἢ σοῦ· διὰ τὸ προϋποκεῖσθαι τὸ ἕτερον μᾶλλον, καὶ σύγχυσιν ἐν τῷ λόγῳ καὶ ἀσάφειαν γίνεσθαι.

204. ΣΥΖΥΓΊΑ· ἐκ τῆς σὺν προθέσεως, καὶ τοῦ ζυγός. καλεῖται δὲ διὰ τὸ συνεζευγμένα ἔχειν ἑκάστην σύμφωνα ἀλλήλοις, δι' ὧν ἑκάστη παράγεται. συζυγία δὲ καὶ ἡ συνέλευσις καὶ συμφωνία δύο συλλαβῶν εἰς μίαν συλλαβήν. ἢ ἀκόλουθος ῥημάτων κλίσις.

205. ΣΥΚῆΑΣ ἔστι κατὰ συναίρεσιν, συκέας γὰρ πρωτότυπον. ἔστι δὲ ὥςπερ ἀμυγδαλέα, ἀμυγδαλῆ. καὶ πάντα τὰ διὰ τοῦ εᾶ δένδρων ὀνόματα περισπῶνται, καὶ ψιλογραφοῦνται, πλὴν τοῦ ἐλαία, καὶ συκομοραία. ἐκ δὲ τῆς συκῆς, ἢ μᾶλλον τῶν σύκων ὁ συκοφάντης. λοιμοῦ γὰρ γενομένου ἐν τῇ Ἀττικῇ, τινὲς λάθρα τὰς συκᾶς τὰς ἀφιερωμένας τοῖς θεοῖς ἐκαρποῦντο, μετὰ δὲ ταῦτα εὐθηνίας γενομένης, ἐκατηγόρουν αὐτῶν, καὶ ἐκεῖθεν συκοφάνται λέγονται.

206. ΣΥΜΜΟΡΙΆ· ἡ πληθὺς, ἢ ἡ συνέλευσις, ἢ ἡ φρατρία· καὶ τὸ σύνταγμα. ὁ δὲ Δημοσθέ-

204. Phav. h. v. p. 1698,55., qui cum Cod. male mox σύμφωνον.

205. Priora partim Phav. h. v. p. 1699,20. A verbis ἐκ δὲ τῆς συκῆς etc., quibus caret Phav., edidit Boissonad. ad Philostr. Heroic. p. 220.

206. Phav. h. v. p. 1704,22.

φρατρία] Ita Codex: Burn. φατρία, qui etiam πέντε καὶ δέκα, ubi Cod. et Phav. πεντεκαίδεκα.

νης ἑξήκοντα ἄνδρας ἔχειν λέγει τὴν συμμορίαν· Ὑπερίδης δὲ, πεντεκαίδεκα.

207. ΣΥΝΩ΄ΝΥΜΑ ’ΟΝΟ΄ΜΑΤΑ *ἔστιν ὅσα καὶ τῷ ὀνόματι καὶ τῷ ὁρισμῷ, ἢ τῇ ὑπογραφῇ τοῦ ὀνόματος, κοινωνοῦσιν· οἷον τὸ ζῶον δηλοῖ καὶ τὸν ἄνθρωπον καὶ τὸν ἵππον· καὶ κατὰ τὸ ὄνομα τοῦτο, ἤγουν τοῦ ζῴου συνώνυμά εἰσιν. ἕκαστος γὰρ αὐτῶν καὶ τὸ ὄνομα καὶ τὸν ὁρισμὸν τοῦ ζῴου δέχονται. ὑπογράφουσι δὲ τὰ συνώνυμα οὕτω· συνώνυμά εἰσιν, ὧν τό τε ὄνομα κοινὸν, καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ὁ αὐτός.*

208. ΣΧΑΔΟ΄ΝΕΣ· *τὰ τῶν κηφήνων κηρία. καὶ ζῶον ἄπτερον ἄπουν. κατὰ δέ τινας τὰ κηρία τῶν μελισσῶν, ἔνθα οἱ σκώληκες. οἱ δὲ, τὴν ὑπερβάλλουσαν ἡδονήν.*

209. ΣΧΕΔΙ΄Α· *κυρίως κάραβος μονόξυλος, ἢ ὀλιγόξυλος. καλεῖται δὲ οὕτω διὰ τὸ σχέδον, ἤγουν ἐγγὺς, καὶ οἷον αὐθωρὸν συμπεπῆχθαι, αὐτοσχεδίως καὶ μὴ ἀναβεβλημένως· ἡ δὲ ῥηθεῖσα τοῦ*

207. Phav. h. v. p. 1714,22.
208. Id. h. v. p. 1721,47.
209. Id. h. v. p. 1722,66.

ὀλιγόξυλος] Unde Burneius suum *ὀλιγόζυγος* sumpserit, quod auctoritate caret, prorsus ignoro: interdum dedi quod et Codex et Phavorinus praebent, licet praeter Philemonem equidem noverim alium nullum auctorem, qui hac voce usus sit. In H. Stephani Thesauro neutra comparet.

ἡ δὲ ῥηθεῖσα τοῦ Ὀδυσσέως σχεδία] Quae huc pertinent loca, collegit Dammius *Lex. Hom.* p. 2719.

Ὀδυσσέως σχεδία ἡ πολύδεσμος οὐκ ἦν, φασὶ, κυρίως σχεδία· πηδάλιον γὰρ ἡ σχεδία οὐκ ἔχει.

210. ΣΧΕΤΛΙΟΣ· ὁ ὀφείλων σχέσθαι, καὶ τλῆναι, ὅ ἐστιν ἐπιμεῖναι, τὸ δὲ παρ' Ὁμήρῳ ἐν Ὀδυσσείας φ δοκεῖ τὸν ἄδικον σημαίνειν, διὰ τὸ τὸν Ἡρακλέα τοιοῦτον φανῆναι. δύναται δηλοῦν καὶ τὸν σφοδρὸν, ἢ καὶ ἄξιον σχέσθαι, καὶ τλῆναι, ὡς ἔφην. σχέτλιος γὰρ οὐχ ὑβριστικὴ λέξις, ἀλλὰ καρτερίας, ὅ ἐστι φερεπονίας, σημαντική· ἵνα δηλοῖ τὸν ἀνέχεσθαι καὶ τλῆναι δυνάμενον. οἱ δὲ παλαιοὶ καὶ ταῦτά φασι. σχέτλιος μέν ἐστιν ὁ ἄξια ποιῶν ἀγανακτήσεως· ὅθεν καὶ τὸ σχετλιάζειν. λέγεται οὕτως καὶ ὁ καρτερικὸς, ἤγουν σχετικὸς, καὶ ὑπομενετικὸς, καὶ, ὡς εἰπεῖν, οὔποτε πόνου λήγων. καὶ ὁ ἐπέκεινα δὲ τοῦ δέοντος εἴς τι ὁρμῶν, καὶ πάνυ δραστήριος. ἢ σχέτλιος, ὁ ἐφεκτικὸς καὶ τλητικὸς, καὶ μὴ εὐκίνητος καὶ εὐπειθής. διὸ καὶ Αἴας τον Ἀχιλλέα σχέτλιον εἰπὼν, νηλεῆ λέγει ἐκεῖνον. καὶ Δία δὲ σχέτλιον, τὸν σχετλιοποιὸν, Ὅμηρος λέγει, καὶ τοῦ σχετλιάζειν πολλοῖς

210. Phav. h. v. p. 1722,59. Odysseae φ, versus est 28. σχέτλιος, οὐδὲ θεῶν ὄπιν ᾐδέσατ', ὐδὲ τράπεζαν.

ἢ καὶ ἄξιον] In ed. Angl ἢ omittitur.

καρτερίας] e Phav. dedit Burn. pro Codicis scriptura καρτερική.

λέγεται οὕτως] Burn. e Phav. δὲ interposuit.

διὸ καὶ Αἴας τὸν Ἀχιλλέα etc.] Respicitur Iliad. ι, 627. sq.

καὶ Δία δὲ σχέτλιον etc.] Iliad. β, 112. ι, 19. Odyss. γ, 161.

γινόμενον αἴτιον. σχέτλιος ἔοικε λέγεσθαι, ὁ πλέον τοῦ δέοντος, καὶ ἐφ' οἷς οὐ καιρὸς, προθυμούμενος, καὶ, ὡς εἰπεῖν, ὁρμητίας· ὃν ἔδει σχέσθαι, καὶ τλῆναι, καὶ μὴ ὁρμῆσαι εἰς τὰ παρόντα. ἔστι δὲ ὅτε σχέτλιος καὶ ὁ πολλὰ ἀνασχόμενος καὶ τλάς. σημαίνει δὲ καὶ τὸν ὡς πρός τινα ὑποσχόμενον, εἶτα δὴ ἀπατήσαντα. λεχθείη ἂν τὸ,

σχέτλιος ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσε,
νῦν δὲ κακὴν ἀπάτην βουλεύσατο.

ὡς τὸ, ὦ φίλοι, ἤδη σχήσει, τουτέστιν ἐφέξει, ἀνὴρ ὅδε χεῖρας ἀάπτους· καί οἱ ὁ δεῖνα ἔβη κενὰ εὔγματα εἰπὼν, ἤγουν κενεαυχὴς, κενὰ καυχησάμενος, ὡς εἰς βοήθειαν.

211. ΣΧΟΙΝΙΌΝ ἐκ τοῦ σχοῖνος γίνεται· τοῦτο δὲ ἐκ τοῦ σχῶ, τὸ κρατῶ. ὅθεν καὶ σχοινοφόρος, ἐκ τοῦ σχοῖνος καὶ τοῦ φέρω. ἔστι δὲ καὶ σχοῖνος μέτρον γεωμετρικόν. σημαίνει δὲ τρία· τὴν πόαν,

σχέτλιος πρὶν μὲν etc.] Iliad. β, 112. 114. ι, 19. 20. unde Philemoni post σχέτλιος restituimus ὃς, manifestam ob caussam interemtum. Mox verba ὦ φίλοι etc. adumbrata sunt ex Odyss. χ, 70.

ὦ φίλοι, οὐ γὰρ σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους.

εὔγματα] Hanc vocem, cuius loco in Cod. lacuna est, Burn. e Phav. reposuit.

211. Quaedam Phav. h. v. p. 1724,21. Maximam partem edidit Villois. ad Apollon. p. LXIX.

πόαν, ἢ νομὴν, ὡς τὸ, Ἀσωπὸν βαθύσχοινον· καὶ μέτρον Περσικὸν, ὃ παρὰ Πέρσαις παρασάγγης λέγεται· ἀπὸ μεταφορᾶς, καὶ ἡ κατ' εὐθυντηρίαν κάθετος, ὡς ἀπὸ τοῦ σχοίνου, τοῦ μετρικοῦ σπαρτίου· ὅθεν καὶ τὰ τῶν χωρίων μετρούμενα, σχοινίσματα λέγεται. σχοῖνον δὲ Ἀριστοφάνης ἐν Πλούτῳ, τὴν σκίλλαν· δηκτικὰ γὰρ βούλεται πάντα εἶναι. ἀλλὰ ἕτερόν τι ἡ σκίλλα ἐκ τῶν Θεοφράστου. σχῖνος δὲ παρὰ τὸ σχίζεσθαι, δένδρον, ὅπερ σχιζόμενον δακρύει τὴν καλουμένην σχινίνην, τὴν καὶ μαστίχην· ἥτις καὶ ῥητίνη παρά τινων λέγεται, ὡς Διοσκορίδης ὁ Ἀναζαρβεὺς περὶ αὐτῆς ἐν τῷ πρώτῳ διαλαμβάνει.

212. ΣΧΟΛΗ'· ἡ ἀργία, καὶ ἡ ἄνεσις· ἀσχολία δὲ, ὁ περισπασμός. σχολὴ καὶ ἡ διατριβή· ἐξ

Ἀσωπὸν βαθύσχοινον] Iliad. δ, 383.

ἡ κατ' εὐθυντηρίαν κάθετος] E Codice perperam edebatur ἡ κατ' εὐθυντηρίαν κάθοδος. Fortasse tamen etiam ultra progrediendum et κατευθυντηρία rescribendum, ad exemplar Etym. M. p. 740,42. Vide Schneideri Lex. Gr. v. κατευθυντήριος.

σχοινίσματα] At hac significatione vox nonnisi apud auctores recentissimos reperitur, uti apud Manuel. Phil. carm. 3,88. p. 88. ed. Wernsdorf. E Nicetae Annalibus locum ipse protulit Schneiderus Lex. h. v.

Πλούτῳ] V. 720. ubi Scholiastae verba valde cum Philemonis conveniunt At illic constanter σχῖνος.

Θεοφράστου] de caus. plant. 5,7., adnotante Hemsterhusio ad Schol. Plut. l. l. Dioscoridis locus est Hist. plant. 1,99. p. 49. ed. Sarac.

212. Phav. h. v. p. 1724,53.

οὗ καὶ σχολεῖον· καὶ σχολάζω, τὸ ἐνδιατρίβω, καὶ ἐπιμένω. διατριβὴ δὲ λέγεται, καὶ ἡ ἐπιμονὴ, καὶ ὁ κατάγελως.

213. ΣΩ͂ΚΟΣ ὁμωνυμεῖ τῷ Ἑρμῇ. ἀναπτύσσεται δὲ ἡ λέξις αὕτη ἀπὸ τοῦ σώζειν, ἢ καὶ ἄλλως ἀπὸ τοῦ σωκῶ, ὃ παρὰ Σοφοκλεῖ ἀντὶ τοῦ ἰσχύω κεῖται, ἢ ἀπὸ τοῦ σάειν οἶκον, ὅ ἐστι σώζειν· ὅπερ οἱ παλαιοὶ οὐκ ἀποδέχονται, ὡς μὴ δὲ προςγράφοντες τὸ ῑ ἐν τῷ σῶκος. ὁ δὲ Τυραννίων ὀξύνει, πρὸς ἀποφυγὴν κυρίου τοῦ, ὦ Σῶκε, Ἱππάσου υἱέ· ἀντιλέγεται δ' ὅμως. τὰ γὰρ εἰς κ̄ο̄ς̄ δισύλλαβα ἀπαρασχημάτιστα ὄντα εἰς γένος θηλυκὸν, φύσει μακρᾷ παραληγόμενα, βαρύνεται, οἷον φῶκος, θῶκος. σεσημείωται δὲ τὸ σηκός. οὐκ ἀρέσκει δὲ τοῖς παλαιοῖς οὐδὲ τὸ ἐκ τοῦ σάοικος κραθῆναι τὴν λέξιν, ἵνα σῶκος ᾖ, ὁ σώζων τοὺς οἴκους· ὡς ἂν μὴ πρόςκειται, φασὶν, ἤγουν προςγράφηται ἐν τῇ παραληγούσῃ τὸ ῑ, τῆς παραδόσεως οὐχ οὕτως ἐχούσης. διὸ καὶ ἁπλούστερον ἐτυμολογοῦντες αὐτὸ, φασὶν, ὥςπερ θάσσω θάκος, καὶ σάω σάκος, οὕτω καὶ σώω σῶκος, ὁ σωστικός. σωκῶ δὲ παρὰ Σοφοκλεῖ ἐν Ἠλέκτρᾳ, ἀντὶ τοῦ δύναμαι, οἷον, οὐκέτι σωκῶ λύπης ἀντίῤῥοπον ἄχθος.

213. Id. h. v. p. 1725,34.

Ἠλέκτρᾳ] V. 119. 120. ubi v. Schol. et Erfurdt. In Codice Villoisonus ad Apollon. p. 754. monuit, id quod me fugit, legi mox ἀντίῤῥωπον: retinui tamen Burneianam lectionem ἀντίῤῥοπον, licet illam etiam Phavorinus.

214. ΣΩΐΟΣ· ὁ ὑγιὴς, προςγεγραμμένον ἔχει τὸ ῑ, ὥςπερ πατρῷος· μητρῷος· σῷος, ὁ ὁλόκληρος, ὃ παρὰ τοῖς Ἀττικοῖς σῶς λέγεται· λῷον· ἑῷος· παππῷος· οὕτω καὶ σῷος. ἐκ τούτου καὶ σῴζω, ὃ δὴ καὶ προςγράφεται, τὴν τοῦ σῷος προςγεγραμμένην τηροῦν. σῶς δὲ εὕρηται καὶ θηλυκῶς· Ἀριστοφάνης· οὕτω παρ' ἡμῖν ἡ πόλις μάλιστα σῶς ἂν εἴη. λέγουσι δὲ καὶ σᾶ; τὰ σῷα, οἱ παλαιοὶ, παρ' οἷς καὶ σᾶ, ἡ σῷα. Εὐριπίδης ἐν Ὑψιπύλῃ·

εὔφημα, καὶ σᾶ, καὶ κατεσφραγισμένα.

καὶ Ἀριστοφάνης· ἡ μάζα γὰρ σᾶ, καὶ τὰ κρέα.

214. Phav. h. v. p. 1726 11. 30.

τηροῦν] Codex et hinc Burn. τηρῶν, vitiose. Emendationem firmat Technologiae MS. fragmentum ab Hermanno de *Em. Gr. Gramm. rat.* p. 37. allatum.

σῶς δὲ εὕρηται καὶ θηλυκῶς] Exempla congessit Spaldingius ad Demosth. Midian. p. 91.

Ἀριστοφάνης] Hic locus ex Eustathio p. 954,41. a Brunckio inter fragmenta ex incert. comoed. CXXVII. T. 3. p. 288. laudatur, quem equidem ita distinxerim:

οὕτω γὰρ ἡμῖν ἡ πόλις μάλιστα σῶς ἂν εἴη.

Quae particula παρ' corruptelae saepius ansam dedit. Ita Hesiodi fragmentum a Nicolao Damasceno p. 40. ed. Orell.

ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδαισιν,
νοῦν δ' Ἀμυθαονίδαις, πλοῦτον δὲ παρ' Ἀτρείδῃσιν

ab hac parte laborare nemo non videt: quid si poeta scripserit, πλοῦτον δ' ἄφαρ Ἀτρείδῃσιν.

εὔφημα etc.] Euripidis verba eodem modo reddit Eustathius in Iliad ν. p. 940,46., unde Barnesius inter fragmenta retulit. Valckenarius Diatr. p. 214. A. εὔσημα malebat.

Ἀριστοφάνης] Plenius idem Eustathius hoc fragmentum ita exhibet:

σῶς δὲ λέγομεν, καὶ οὐχὶ σῷος· καὶ σῶς, οὐχὶ σῴους· σῷοι δὲ μόνον. ἐπὶ δὲ τοῦ θηλυκοῦ, ἡ αἰτιατικὴ τῶν πληθυντικῶν μόνη συναιρεῖται. σῶς γὰρ λέγομεν, οὐχὶ σῴας. ὡσαύτως καὶ ἐπὶ τοῦ οὐδετέρου, μόναι, ἥ τε εὐθεῖα τῶν ἑνικῶν, καὶ ἡ αἰτιατικὴ, συναιροῦνται. σῶν γὰρ λέγομεν, οὐχὶ σῷον. σῷ δὲ, καὶ σᾶ παρὰ Θουκυδίδῃ.

215. ΣΩ'ΦΡΩΝ καὶ ΣΩΦΡΟΣΥ'ΝΗ καὶ ΣΩΦΡΟΝΕΙ͂Ν· ἐπὶ τῶν μὴ σεσαλευμένων τὸν νοῦν. σωφρονεῖν καὶ τὸ ἐν παρθενίᾳ διάγειν· καὶ τῷ γάμῳ νομίμως χρῆσθαι.

Τ.

216. ΤΑΚΤΙΚΑ'· τὰ στρατιωτικὰ, καὶ πολεμικά. καὶ τακτικὰ ὀνόματα, τὰ σημαντικὰ τά-

ἡ μάζα γὰρ σᾶ, καὶ τὰ κρέα χὠ κάραβος.

συναιρεῖται] Ita Cod. et Phav.; Burn. perperam συναίρεται: qua verbornm confusione nulla fere frequentior. Vide, ne multa, Thierschii *Acta Phil. Mon.* vol. 2. fasc. 1. p. 30.

σῷ δὲ καὶ σᾶ παρὰ Θουκυδίδῃ] Vulgo σῷα pro σῷ, quod dedimus Grammaticos sequuti, qui contractam formam σῷ pro σῷοι ex Thucydide ad unum omnes in medium proferunt: quorum loca diligenter contulit Piersonus ad Moerid. p. 347. Cf. Sturz. ad Maittair. de dial. p. 53. Valckenarius in *Ruhnkenii et ipsius epistolis* a Tittmanno editis p. 177. Buttmann *Ausführliche Griechische Sprachlehre* T. 1. p. 250. Thucydidis autem loca vereor ne hodie oblitterata plane sint.

215. Phav. h. v. p. 1727,11.

216. Id. h. v. p. 1728,8.

ξεως, ἅπερ ὁμοιογενῶς, καὶ ὁμοιοπτώτως τοῖς κυρίοις καὶ προσηγορικοῖς ὀνόμασι συντάσσονται, οἷον ὁ πρῶτος θεός· ἡ πρώτη οὐσία· τὸ πρῶτον εἶδος.

217. ΤΑ'ΛΑΝΤΟΝ· τό τε ὄργανον, καὶ τὸ ταλαντευόμενον. οὕτω καὶ σταθμὸς ὀργανικῶς νοεῖται· καὶ παρὰ τοῖς ὕστερον ἡ τρυτάνη, καὶ ὁ ζυγός· γίνεται τῶν ῥηθεισῶν λέξεων, τὸ μὲν τάλαντον ὅθεν, ἐῤῥέθη· τρυτάνη δὲ παρὰ τὸ τρύεσθαι· σταθμὸς δὲ, παρὰ τὴν στάσιν· ἱστᾷ γὰρ ἐν ἰσότητι τὰς ὁλκὰς, καθιστῶν τὸ ἄνισον. ζυγὸς δὲ, κατὰ μεταφοράν, ὡς τῶν πλαστίγγων ἐνὶ κανόνι καθὰ ζυγῷ συνηγμένων. πλάστιγγες δὲ, διὰ τὸ κατ' αὐτὰς πλάτος. τάλαντον δὲ ἑνικῶς, καὶ τάλαντα πληθυντικῶς, κατὰ παλαιὰν παρατήρησιν, οὐκ ἐπὶ ἀργύρου· ἀλλ' ἢ ἐπὶ πλαστίγγων, οἷον, ἀλλ' ἔχον ὥστε τάλαντα γυνὴ χερνῆτις· ἢ ἐπὶ χρυσοῦ, οἷον, θῆκε δύο χρυσοῖο τάλαντα· καὶ, φέρειν δέκα πάντα τάλαντα. τάλαντον εἴρηται καὶ τὸ ὄργανον, καὶ τὰ ἐν αὐτῷ σταθμιζόμενα· δι' ὧν τάλας ἐστὶν ὁ σταθμὸς, οἷα πάσχων βάρος ἐξ αὐτῶν. τάλαντον σημαίνει καὶ τὸ πλατὺ καὶ πεταλῶδες τοῦ ζυγοῦ, ἐν ᾧ τίθεται τὰ σταθμούμενα.

217. Ibid. lin. 43. Verbis ῥηθεισῶν λέξεων Codex καὶ interponit, quod duce Phav. sustulit Burneius.

ἀλλ' ἔχον ὥστε τάλαντα etc.] Iliad. μ, 433.

θῆκε δύο χρυσοῖο τάλαντα] Iliad. ψ, 269.

φέρειν δέκα πάντα τάλαντα] Iliad. ω, 232.

χρυσοῦ δὲ στήσας ἔφερεν δέκα πάντα τάλαντα.

218. ΤΑΛΑ'ΣΙΑ· τὰ ἔρια. ἀφ' οὗ καὶ ταλασιουργοὶ, οἱ ἱστουργοί. τὸ σῖ, ῖ. τὰ διὰ τοῦ ῖσς κύρια ὑπερτρισύλλαβα προπαροξύτονα διὰ τοῦ ῖ γράφεται, χωρὶς τῶν παρὰ τὸ κλέος. ταλασίφρων δὲ, ἐκ τοῦ ταλάσω· ὡς βλάψω, βλαψίφρων. ὅθεν καὶ ὁ τάλας γίνεται. καὶ ταλασίφρονα Ὀδυσσέα ὁ Ποιητὴς ἀντὶ τοῦ τλήμονα εἶπεν. ἴσως δὲ καὶ κατὰ διπλόην ἐπαίνου, τλήμονα, καὶ φρόνιμον ἡ λέξις δηλοῖ ἄνδρα· καθ' ὁμοιότητα τοῦ δαΐφρων, ὅτι δάϊον σημαίνει καὶ φρόνιμον.

219. ΤΑΛΑΥ'Ρ'ΡΙΝΟΝ δηλοῖ τὸν εὔτολμον, καὶ ἰσχυρὸν, καὶ ὑπομονητικὸν, καὶ καρτερικὸν ἐν μάχῃ. Ἀρίσταρχος μὲν ψιλοῖ τὸ ῥ, λέγων οὐ σύνθετον εἶναι σχηματισμὸν, ἀλλὰ ἔννοιαν ἁπλῆν. Τρύφωνι δὲ ἀρέσκει σύνθετον εἶναι τὴν λέξιν, παρὰ τὸ ταλαὸν καὶ τὸ ῥινός· διὸ καὶ ἐδάσυνε τὸ ῥ. λέγουσι δὲ οἱ παλαιοὶ, καὶ ὅτι εἴτε λεκτὸν τὸ ἐπὶ τέλους φωνῆεν, εἴτε καὶ παρέλκει, φυλαττέσθω τὸ πνεῦμα.

220. ΤΑΜΙ'ΑΣ· ὁ δεσπότης, παρὰ τὸ ἀποτετμῆσθαι αὐτῷ τὴν τοῦ οἴκου ἐξουσίαν, ἢ παρὰ τὸ τέμνειν αὐτὸν, καὶ ἀπομερίζειν τοῖς ἄλλοις. Ζεὺς ταμίας πόλεως. ταμίαι, ἔφοροι· φύλακες· ταμιοῦχοι·

218. Phav. h. v. p. 1729,23.
ταλασίφρονα Ὀδυσσέα ὁ Ποιητὴς] Loca quae huc pertinent, collegit Dammius *Lex. Hom.* p. 2574.
219. Phav. h. v p. 1729,39., ubi mox Τρύφων δὲ ἀρέσκεται.
220. Similia id. h. v. p. 1730,10. Etym. M. p. 745,13.

διοικηταί. ἀρχὴ γάρ τις παρ' Ἀθηναίοις ἦσαν οἱ ταμίαι, δέκα τὸν ἀριθμόν. παραλαμβάνουσι δὲ οὗτοι, τό τε ἄγαλμα τῆς Ἀθηνᾶς, καὶ τὰς νίκας, καὶ τὸν ἄλλον κόσμον, καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς, ὡς Ἀριστοτέλης. εἰσὶ καὶ ἄλλοι ταμίαι ἄρχοντες χειροτονητοὶ ἐπὶ τὰς ἱερὰς, καὶ δημοσίας τριήρεις. ὅτι δὲ καὶ τοῖς τριηράρχαις παρείποντο ταμίαι, δεδήλωκεν Εὔπολις. ἁμαρτάνουσι δὲ οἱ κλίνοντες ταμία, δέον τοῦ ταμίου. μόνως γὰρ τὰ ὑπὲρ δύο συλλαβὰς εἰς ᾱς λήγοντα, ἢ εἰς ρᾱς πάντως τὴν γενικὴν εἰς ου̅ τρέπει, οἷον Μειδίας, Μειδίου· Διαγόρας, Διαγόρου. οὕτως ἄρα καὶ ταμίας, ταμίου. Ὅμηρος δὲ ταμίας λέγει, οὐ γενικῶς θησαυροφύλακας, ἀλλὰ σίτου δοτῆρας, ἐν Ἰλιάδος τ' ταμίαις, ἐφόροις· φύλαξι. Ἀττικοὶ δὲ τὸν οἰκονόμον, ἀντὶ τοῦ ταμίου· καὶ Ἕλληνες, τὸν ἐπίτροπον.

221. ΤΑΠΕΙΝΟ'Σ γίνεται, ἢ παρὰ τὸ θάπτω, ὁ δεύτερος ἀόριστος ἔταφον, ταφεινὸς, καὶ τροπῇ, ταπεινός· ἢ ὥσπερ ἐκ τοῦ ὄρος γίνεται ὀρεινὸς, οὕτως ἀπὸ τοῦ ἔδαφος ἐδαφεινὸς, καὶ κατὰ ἀφαίρεσιν τοῦ ε̅, καὶ τροπῇ τῶν συμφώνων, ταπεινός· ἢ παρὰ τὸ πέδον, πεδεινὸς, καὶ κατὰ τροπὴν τοῦ δ̅ εἰς τ̅, καὶ τοῦ ε̅ εἰς τὸ α̅, ταπεινός· καὶ κατὰ

ἐν Ἰλιάδος τ'] Cod. et Phav. ο̅ pro τ̅. Locus est τ, 44.
καὶ ταμίαι παρὰ νηυσὶν ἔσαν σίτοιο δοτῆρες.

221. Phav. h. v. p. 1751,66. Etym. M. p. 745,72.

ὑπέρθεσιν· ἢ παρὰ τὸ δάπεδον, δαπεδεινός· καὶ κατὰ συγκοπὴν καὶ τροπήν· ἢ παρὰ τὸ πατῶ γίνεται πάτος, οἱονεὶ ὁ πατούμενος, καὶ ἐκεῖθεν ταπεινὸς, καὶ ἐν ὑπερθέσει· ἢ παρὰ τὸ τάπης, τάπητος, ταπητεινὸς, καὶ κατὰ συγκοπὴν, ταπεινός.

222. ΤΑΡΑΧΗ΄· ἐτυμολογεῖται μὲν παρὰ τὸ ῥᾷον χεῖσθαι· παράγεται δὲ παρὰ τὸ ταράσσω. τοῦτο παρὰ τὸ ῥῶ, τὸ φθείρω· ῥάσσω, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀράσσω, καὶ πλεονασμῷ τοῦ τ̄ ταράσσω, ταράξω, τετάραχα· ταραχή. τὸ ρ̄ᾰ βραχύ. τὰ γὰρ διὰ σ̄σ̄ ἐκφερόμενα παραγωγὰ ῥήματα ὑπὲρ δύο συλλαβὰς βαρύτονα. διχρόνῳ παραληγόμενα συστέλλει αὐτὸ, οἷον ἀνάσσω, πατάσσω, ταράσσω, καὶ τὰ ἀπ᾽ αὐτῶν παραγόμενα.

223. ΤΑ΄ΡΒΟΣ· σημαίνει τὸν φόβον. τρισὶ παραγωγαῖς ὁ Ἡρωδιανὸς τοῦτο ὑπέλαβε· πρῶτον, ἐκ τοῦ ταράσσω τάραβος, καὶ συγκοπῇ τάρβος, παρὰ δὲ τὸ ταράσσειν τὴν ψυχήν· δεύτερον, ἐκ τοῦ τρέπω, ὁ δεύτερος ἀόριστος ἔτραπον, τράπος καὶ τάρβος· οἱ γὰρ εὐλαβούμενοι φεύγουσι· τρίτον, ἐκ τοῦ τείρω τὸ καταπονῶ, ὁ δεύτερος ἀόριστος ἔταρον, τάρος· καὶ πλεονασμῷ τοῦ β̄, τάρβος. ὅθεν ταρβαλέον, τὸ δεινὸν καὶ φοβερόν· καὶ ῥῆμα ταρβῶ, τὸ φοβοῦμαι, καὶ παρὰ ποιηταῖς τὸ τρέμω.

222. Phav. h. v. p. 1732,40.

223. Ibid. lin. 54. Etym. M. p. 746,26., quibus ducibus iubente ipso Codice mox δὲ eieci, quod ante τὸ ταράσσειν temere a Burn. addebatur.

224. ΤΑΡΣΟΙ· οἱ καλαθίσκοι, ἐν οἷς τυροκομοῦσι. παράγονται δὲ παρὰ τὸ τέρσαι, τὸ ξηράναι, ἐν οἷς δηλονότι τερσαίνονται οἱ τυροὶ, οὓς καὶ πλεκτοὺς ταλάρους λέγει Ὅμηρος. οἱ δὲ παλαιοὶ τὸν τοιοῦτον ταρσὸν καὶ ταῤῥὸν λέγουσιν. οἱ ταρσοὶ βρῖθον τυρῶν, κατὰ γενικὴν ἡ σύνταξις, ἀντὶ τοῦ ἔγεμον, ἢ βάρος εἶχον ὑπὸ τῶν τυρῶν. ἡ δὲ κοινὴ διάλεκτος τυροῖς βρίθειν λέγει, ὁμοίως τῷ ἄνθεσι βρίθειν. λέγεται δὲ ὁ ταρσὸς, καὶ τυροψύκτης. ταρσὸς δὲ καὶ τοῦ ποδὸς τὸ κάτω πλατύ. λαμβάνεται δὲ καὶ ἐπὶ χειρὸς, ἀπὸ τοῦ τέρσω, τὸ ξηραίνω· τοιοῦτον γὰρ τὸ μέρος ὀστῶδες ὄν. ἔτι δὲ καὶ ἐπὶ πτέρυγος ὀρνέων ἡ λέξις αὕτη κεῖται· καὶ ἐπὶ μέρους τριήρεων. σημαίνει δὲ καὶ πόλιν τῆς Κιλικίας, ἧς ὁ πολίτης Ταρσεύς.

225. ΤΑΥΡΟΠΟ'ΛΟΣ· ἐπίθετον Ἀρτέμιδος· ὅτι ὡς ταῦρος περίεισι πάντα· ἢ ὅτι τὸν ὑπὸ Ποσειδῶνος ἐπιπεμφθέντα Ἱππολύτῳ ταῦρον ἐξοίστρησεν ἐπὶ πᾶσαν τὴν γῆν· ἢ ὅτι ἡ Ἰφιγένεια φυγοῦσα ἀπὸ Σκυθίας, ἐν Ἀττικῇ ἱδρυσαμένη τὸ ἄγαλμα, ταυροπόλον Ἄρτεμιν προσηγόρευσεν.

224. Similia Phav. h. v. p. 1733,33. Conferri iubet Pollucem 10,130. R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 199.

Ὅμηρος] Iliad. σ, 568. Odyss. ι, 247.

225. Phav. v. *Ταυροπόλον* p. 1734,47. Etym. M. p. 747,52. Partem edidit Villois. ad Apollon. *Lex. Hom.* p. 796.

226. ΤΆΦΟΣ· τὸ μνῆμα, καὶ οὐ ὁ μετὰ τὸ ταφῆναι, ὥς τινες οἴονται, περίδειπνος, ἀλλ' ἁπλῶς ὁ ἐπὶ νεκρῷ. ἐπὶ γοῦν Πατρόκλου μήπω ταφέντος, τάφος τοιοῦτος γίνεται, ὃς πρὸς ἑσπέραν γενόμενος, καὶ δόρπος ὑπὸ τοῦ Ποιητοῦ λέγεται· ὡς δηλοῖ τὸ, δορπήσομεν ἐνθάδε πάντες. καὶ, δόρπον ἐφωπλίσαντο ἕκαστος. τὸ δ' αὐτὸ καὶ δαῖτα καὶ ἀλλαχοῦ λέγει Ὅμηρος, οὐχ ἁπλῶς μέντοι, ἀλλὰ στυγερὰν, ὡς ἐπὶ νεκρῷ γενομένην· ὃς ἐς Στυγὸς κατὰ μῦθον ἄπεισιν. οἱ δὲ γλωσσογράφοι φασὶν ὅτι Κύπριοι καὶ τὸν φόνον τάφον καλοῦσιν· ἕτεροι δὲ καὶ τὴν ταφὴν τάφον λέγεσθαι οἴονται· ὡς καὶ τὴν χολὴν, χόλον, οἷον τάφου μνῆμα, ταφῆς μνημόσυνον. καὶ Τάφος νῆσος μία τῶν Ἐχινάδων νήσων, ὅθεν λησταὶ Τάφιοι κατὰ τοὺς παλαιούς. ἐλέγοντο δὲ οἱ αὐτοὶ καὶ Τηλεβόαι· ἢ διότι ληϊζόμενοι τῆλε τοὺς βόας ἀπῆγον· ἢ ὅτι οὐ τοῖς πλησιοχώροις μόνον, ἀλλὰ καὶ τοῖς τῆλε, καὶ μακρὰν, βοὴν ἤτοι μάχην συνίστων· ἢ καὶ εὐρύφωνοι, καὶ τῆλε, τουτέστι, μακρὰν βοᾷν ἐξισχύοντες. εἰς τούτους Ἀμφιτρύων ὁ πατὴρ τοῦ Ἡρακλέους ἐστράτευσε, ληϊσαμένους βόας τῆς γυναικὸς Ἀλκμήνης,

226. Phav. h. v. p. 1736,15. Usque ad verba ταφῆς μνημόσυνον edidit Villois. ad Apollon. p. 761.

δορπήσομεν ἐνθάδε πάντες] Iliad. ψ, 11.

δόρπον ἐφωπλίσαντο ἕκαστος] Iliad. ψ, 55. In Codice tamen esse ἐνωπλ. monet Villoisonus.

στυγερὰν] Confert Villois. Iliad. ψ, 48. δαιτὶ στυγερῇ.

ἔχων συστρατευόμενον καί τινα Κέφαλον ἄνδρα φυγάδα ἐξ Ἀθηνῶν, ἀφ' οὗ χρησιμεύσαντός τι ἐν τῷ τότε πολέμῳ, Κεφαλληνία ἐν δυσὶ λ̄λ̄ ἡ νῆσος ἐκλήθη πρὸς διαστολήν· ἵνα τὸ ἐθνικὸν ὁ Κεφαλλὴν ἔχῃ διαφορὰν πρὸς τὴν ἐν τῷ σώματι κεφαλήν. κεῖται δὲ ὁ Κεφαλλὴν παρὰ Σοφοκλεῖ ἐν τῷ, ὦ ξεῖνε Κεφαλλήν. ἦρχε δὲ τῆς Κεφαλληνίας ὁ Ὀδυσσεύς. ἔχει τὸ Τάφος, τὸ τῆς νήσου ὄνομα, ὁμωνυμίαν πρὸς τὸ θάμβος, ὅ, τι καὶ αὐτὸ τάφος λέγεται, ὡς τὸ, τάφος δ' ἕλε πάντας, ἤγουν θάμβος, καὶ ἔκπληξις. ἐξ οὗ καὶ τὸ, ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς.

227. ΤΑΧΥ͂Σ· ὁ ὠκὺς, καὶ τὸ οὐδέτερον, τὸ ταχύ. δεῖ δὲ εἰδέναι, ὅτι τὰ εἰς σ̄ ἀρσενικὰ τετραχῶς ἀποτελοῦσι οὐδέτερα. ἢ γὰρ ἀποβολῇ τοῦ σ̄ γίνεται, ὡς ἐπὶ τοῦ ταχὺς, ταχύ· φιλόπολις, φιλόπολι· μέγας, μέγα. ἢ τροπῇ τοῦ σ̄ εἰς ν̄, ὡς καλὸς, καλόν· σοφὸς, σοφόν. ἢ κατὰ τροπὴν τοῦ σ̄ εἰς ν̄, καὶ συστολῇ τοῦ ᾱ, ὡς μέλας, μέλαν. ἢ

ἐν δυσὶ λ̄λ̄] Ne σὺν pro ἐν legendum esse suspiceris, affero Lexicon Bekkeri *Anecd. Graec.* T. 1. p. 446. Ἀῤῥαβών: ἐν τοῖς δύο ρ̄ρ̄ λεκτέον. Photii Lex p. 139. Κυνοκέφαλον ἐν τοῖς δύο λ̄λ̄ λέγουσιν· οὕτως Ἀριστοφάνης [Equit. 417.]

Σοφοκλεῖ] Sophoclis locus me latet.

τάφος δ' ἕλε πάντας] Odyss. φ, 122.

ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς] Iliad. ι, 193. λ, 776. ψ, 101. 227. Phav. h. v. p. 1737,17. similia tradit.

ἀποτελοῦσι] Ita Codicem et Phav. sequuti pro edito ἀποτελεῖται restituimus.

κατὰ συστολὴν μόνον, ὡς τὸ εὐσεβὴς, εὐσεβές. εὐγενὴς, εὐγενές· καὶ ἀληθὴς, ἀληθές. καὶ ταχὺ, ἀντὶ τοῦ ταχέως, ἐπιῤῥηματικῶς.

228. ΤΑΩ'Ν· *ποιὸν ὄρνεον πεποικιλμένον ταῖς πτέρυξι, οἱονεὶ ὄμμασί τισι κατάστικτον. ἐτυμολογεῖται δὲ παρὰ τὸ τείνειν τὴν οὐράν. τὸ γὰρ ζῶον ἐναβρυνόμενον τῷ ἑαυτοῦ κάλλει, τοῖς ὁρῶσι τὴν οὐρὰν ἐξαπλοῦν ἀποδεικνύει. τινὲς δὲ ἀπὸ τοῦ ταὸς βούλονται εἶναι, κατ' ἔκτασιν τοῦ ō εἰς ῶ μέγα, καὶ ἐναλλαγῇ τοῦ τόνου. ἀλλ' οὐκ ἔστιν· ἐπειδὴ τὸ ταὸς, ὥς φησιν Ἡρωδιανὸς, διὰ τοῦ ō μικροῦ οὐκ ἔστι σύνηθες τοῖς Ἕλλησι. τινὲς δὲ λέγουσιν ὅτι ὤφειλεν εἶναι τεὼς, ὡς λαὸς, λεώς· ναὸς, νεώς.*

229. ΤΕΓΕ'ΟΥΣ ΘΑΛΑ'ΜΟΥΣ· *τοὺς ἀνωγείους. καὶ σημείωσαι ὅτι Ὅμηρος τεγέους θαλάμους τοὺς γυναικείους ἐκάλεσεν, οὐ μὴν δὲ τοὺς ἀνδρείους, ὡς ἐπὶ τέγει ἑτέρου οἴκου ἀναστάντας, ἤτοι ὑπερῴους· ἢ πολυστέγους, πολυωρόφους, ἵνα μὴ διοδευομένων τινῶν κατοπτεύωνται αἱ γυναῖκες.*

228. Similia Phav. h. v. p. 1737,14. Etym. M. p. 749,5. ἐναλλαγῇ] Hoc praebuerunt Cod., Phav. et Etym. pro perperam edito ἐναλλαγήν.

229. Similia Phav. h. v. p. 1737,56. Philemonis adnotationem, cuius partem usque ad verba *αἱ γυναῖκες* Villoisonus ad Apollon. p. 766. ediderat, partemque hinc repetierat Heynius *Obs. in Iliad.* T. 5. p. 243., pertinere ad Iliad. ζ, 248. monuit R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 199.

ἀνδρείους] Codex ἀνδρῶνας.

γίνεται δὲ τὸ τέγεος ἀπὸ τοῦ τέγος, τέγειος, καὶ ἀποβολῇ τέγεος, ὡς τέλος, τέλειος, τέλεος. ὥσπερ δὲ μικρὸς σμικρὸς, οὕτω καὶ τέγος στέγος, ἐξ οὗ τὸ στέγω ῥῆμα. ἰστέον δὲ ὅτι εἰ καὶ ἀπὸ τοῦ τέγους, ὃ γίνεται ἀπὸ τοῦ τέγγω, παράγεται τὸ στέγος, ἀλλὰ ἐξ αὐτοῦ αὖθις ὅλος ὁ οἶκος παρονομάζεται, διὰ μέσου τοῦ στέγειν ῥήματος. ὡς ὑποδηλοῖ καὶ Εὐριπίδης ἐν οἷς που λέγει, ὅτι ὄχλον στέγει δόμος.

230. ΤΕΙΧΕΣΙΠΛΗ̃ΤΑ· τινὲς διὰ τοῦ β̄ γράφουσιν· ἀμφοτέρων μία ἡ ἔννοια. ἔστι δὲ τειχεσιπλήτης μὲν ὡς ἂν τις εἴπῃ, πολιορκητὴς, ὁ τοῖς τείχεσι πελάζων ἐπὶ πορθήσει. τειχεσιβλήτης δὲ, ὁ καταβάλλων τὰ τείχη.

ὡς ὑποδηλοῖ καὶ Εὐριπίδης — δόμος] Ex ipsis Philemonis verbis facile apparet, Euripidis contexta accurate non citari, quae hodie ita habent pleniora, Hippol. 842,43.

εἴποι τις ἂν τὸ πραχθὲν, ἢ μάτην ὄχλον
στέγοι τύραννον δῶμα προσπόλων ἐμῶν,

ubi in transcursu moneo ex aliquot codd. στέγει prae στέγοι in textum mihi videri suscipiendum. Ceterum lectione ipsius Cod. Philemonis et Phavorini δῆμος pro δόμος exhibentium collata cum poetae textu, facile concedes utrique δῶμα pro δῆμος esse reddendum, licet Eustathius ad Iliad. ζ. p. 499,15. eadem verba exscripserit mendose: Εὐριπίδης πȣ λέγει, ὅτι ὄχλον στέγει δόμος. Ac δῶμα et δόμος non semel in MS. confusa esse, a pluribus monitum est: vide Seidlerum *de vers. dochm.* T. 1. p. 59.

230. Phav. h. v. p. 1739,37., unde reddidi Philemoni mox εἴπῃ pro edito εἴποι. Perperam etiam Burn. πολιορκίτης.

γάμων θέα, ἴσως τὰ λεγόμενα θεώρητρα. ἐκεῖθεν δὲ καὶ τέλειοι, οἱ γεγαμηκότες· καὶ τελειωθῆναι, τὸ γῆμαι· δῆλον δὲ ὅτι καὶ τὸ ἐκ τοῦ παντὸς πράγματος πέρας, τέλος λέγεται. ἀφ' οὗ καὶ ἡ τελευτὴ, προςλαβοῦσα τὸ ῡ πρὸς διαφορὰν τῆς τελετῆς, καὶ τὸ τελευτᾶν ῥῆμα, ὡς τὸ, τελευτήσῃς τε καὶ ἔρξῃς. καὶ τὸ τελεοῦν, ὡς τὸ, τῇ νῦν ὁρμῇ τελεωθέν. καὶ τὸ τελειοῦν, καὶ ὁ ἐν τοῖς τοιούτοις τέλειος, καὶ ἡ συντέλεια, καὶ τὸ παντελές. ἤδη δὲ καὶ ἡ λυσιτέλεια. δοκεῖ δὲ ἀπὸ σεμνοτάτης λέξεως τοῦ τέλλειν τὸ τέλος γίνεσθαι, ὁποῖον ἂν ἐκεῖνο εἴποι τις. προανατέλλει γάρ πως ἁπάσης πράξεως ὁ κατὰ τὸ τέλος· καὶ αὐτοῦ ἕνεκα τὰ πρὸ αὐτοῦ. ἐξαχῶς δὲ τὸ τέλος εὕρηται παρὰ τοῖς παλαιοῖς. σημαίνει γὰρ τὸ στρατιωτικὸν σύνταγμα· καὶ τὸ τῶν πραγμάτων πέρας· καὶ τὴν ταῖς πόλεσι φοιτῶσαν πρόσοδον· καὶ τὸ ἀξίωμα, ὡς παρὰ Θουκυδίδῃ καὶ Ξενοφῶντι, καὶ παρ' Εὐρι-

θεώρητρα] Burn. e Phav., nescio quare θεώρετρα. Ceterum hinc vox firmatur, quae Schneidero Lex. suspecta visa est.

τελευτήσῃς τε καὶ ἔρξῃς] Odyss. α, 293.

σεμνοτάτης] Villois. σεμνότητος et mox τέλειν pro τέλλειν, et ποῖον pro ὁποῖον, omnia mendosa.

ὁ κατὰ τέλος] Addit Burn. σκοπὸς, cuius vocis vestigium neque in Cod., neque in Phav. est, neque ita Villoisonus.

Θουκυδίδῃ] 1,58. 2,10. et ad utrumque locum Schol. Xenophontis loca contulit Sturzius *Lex. Xenoph.* T. 4. p. 275. nr. 4.

Εὐριπίδῃ δὲ ἐν τῷ, τοῖς ἐν τέλει βεβῶσι πείσομαι. δηλοῖ δὲ καὶ τὸ δαπάνημα, ὡς παρ' αὐτῷ, μάτην δ' εἰκοστὸν τόδ' ἐκβαίη τέλος. καὶ τὴν μυστικὴν καὶ οὕτω τελειοποιὸν ἑορτήν· ὅθεν καὶ ἡ τελετὴ λέγεται, καὶ τελούμενοι οἱ τὰ μυστικὰ διδασκόμε-

Εὐριπίδῃ] Fallitur hic magnopere Philemo sequens tragici fragmentum Euripidi tribuens, quum Sophoclis sit, in Antig. 67. Quae nominum commutatio antiquitus iam propagata esse videtur, quum Scholiasta e cod. Victor. Aristoph. Ran. 370. in Thierschii *Actis Phil. Mon.* vol. 1. fasc. 3. p. 367. editus, eundem versum Euripidis esse adnotans eodem plane errore laboret. Confusa autem sunt utriusque tragici nomina saepissime: exempla suggerent Ruhnkenius ad Xenoph. Mem. 2, 1,10. Lessingius *Opp. omn.* T. 14. p. 321., Brunckius *Fragm. Sophoclis* Tyrus X. Porsonus Advers. p. 211. 215. 267. ed. Angl. nosque ipsi *Analect. Crit.* p. 167. et *über des Sophokles Aias* p. 120., alia alibi daturi.

ὡς παρ' αὐτῷ] Phav. ὡς Εὐριπίδης.

μάτην δ' εἰκοστὸν τόδ' ἐκβαίη τέλος] Etsi de mendo in v. εἰκοστὸν dubitari non possit, immo medicina iam dudum parata sit, tamen nihil mutaverim in textu Philemonis quum utrum ipse erraverit an ille, cuius scripto usus sit, hodie non constet. Atque idem mendum in Schol. Victor. Aristophanis l. l. nec non in Eustathio, ubi eundem versum citat ad Iliad. κ. p. 702. recurrit. Correctior iam hic Euripidis versus inter fragm. Polyid. habetur, VIII.

μάτην γὰρ οἴκῳ σῷ τόδ' ἐκβαίη τέλος.

Ita versus lectio e Schol. MS. Leid. Iliad. κ, 56 a Valckenario Diatr. p. 202., etsi non opus fuisset, ut de mutando γὰρ in ἄρ' cogitaret, feliciter eruta est. Philemonis et Eustathii corruptela anti quius tempus attingere videtur.

ἑορτήν] Recte ita e Phav. Burneius. pro ἀρετήν, quod e Cod. ediderat Villoisonus.

βαδίζουσα. τῶν δὲ τεχνῶν διαφοραί εἰσι δύο· αἱ μὲν γὰρ αὐτῶν εἰσὶ λογικαὶ, αἱ δὲ πρακτικαί. καὶ λογικαὶ μὲν, οἷον Γραμματικὴ, Ῥητορική· πρακτικαὶ δὲ, οἷον Τεκτονικὴ, Χαλκευτική. τέχνημα δὲ τέχνης καὶ τεχνάσματος διαφέρει. τέχνη μὲν γὰρ λεγέται ἡ ἀκριβὴς ἐπιστήμη τοῦ πράγματος, ἣν ἔχει ὁ τεχνίτης· τέχνημα δὲ, ὃ καὶ τεχνούργημα, τὸ ἐξ αὐτῆς τῆς τέχνης παρὰ τοῦ δημιουργοῦ καὶ τοῦ τεχνίτου κατασκευασθέν· τέχνασμα δὲ, ὁ δόλος, καὶ ἡ ἀπάτη. σπανίως δὲ εὑρίσκεται καὶ παρ' Ἴωσι γραφόμενον, Ἀττικῶς δὲ οὐχ εὕρηται.

236. ΤΗΛΙΆ· ἡ τοῦ κοσκίνου περιφέρεια, ἢ σανὶς πλατεῖα, ἐφ' ἧς ἄλφιτα φύρουσι. τινὲς δέ φασι τηλίαν ξύλον πλατὺ, εἰς ὃ οἱ ἀρτοκόποι τοὺς ἄρτους ἐπιξηραίνουσιν. ἄλλοι δὲ, τηλίαν, τὸ τῆς καπνοδόχης πῶμα, ὅ ἐστι περιφερές. καὶ τηλία ἐστὶν ἡ ἀτρύπητος σανίς. ἐὰν δὲ τρυπηθῇ, ἀψὶς

ritatem voci τεχνούργημα lucrare, quae a Schneidero dubia fide profertur.

236. Phav. h. v. p. 1753,13. Lexicon ined. SGM. cod. Paris Reg. 345. fol. 141. recto: Τηλία· σανίδιόν τι περιφραγμένον πανταχόθεν, εἰς ὃ ἐνέβαλον ἢ ἀλεκτρυόνας ἢ ὄρτυγας μάχεσθαι· καὶ τὸν ὑπερπηδῶντα αὐτῶν τὰ περιφράγματα ἔλεγον ἡττᾶσθαι.

ἀρτοκόποι] Hinc vindicatur vox, quae apud Schneiderum fatali crucis signo laborat, obvia etiam in Suida v. τηλία T. 3. p. 460. et Herodot. 1,51.

καπνοδόχης] Haec vox recentioris tantum Graecitatis exstat etiam ap. Schol. Aristoph. Plut. 816. Attici καπνοδόκη et καπνοδοκεῖον: v. Lobeck. ad Phrynich. Eclog. p. 307.

γίνεται. λέγει οὖν, ὅτι εἰ μὴ ὁ δακτύλιος τοσοῦτον ἔχει τρύπημα, ὡς δοκεῖν εἶναι ἐν τηλίᾳ τὸ τρύπημα.

237. ΤΗΛΥΓΕΤΟΣ· ὁ μονογενής. καὶ τηλύγετος ἐν μάχῃ, ἤγουν μόνος. καὶ τηλύγετος παῖς, παρὰ τοῖς παλαιοῖς, οὐ μόνον μεθ' ὃν οὐκ ἔστι τεκνώσασθαι, ἢ ὁ μόνος υἱός· ἀλλὰ καὶ ὁ τῆλε ὄντι τῷ πατρὶ γεννηθείς, ἢ αὐξηθεὶς μετὰ γέννησιν. παράδειγμα τοῦ προτέρου ὁ Τηλέγονος, ὁ τῆλε ὄντι τῷ Ὀδυσσεῖ γεννηθεὶς ἐκ τῆς Κίρκης· τοῦ δευτέρου δὲ, Ὀρέστης ὁ Ἀγαμεμνονίδης. καὶ ὁ Τηλέμαχος τοῦ Ὀδυσσέως, ᾧ οὕτω τὸ ὄνομα ἔπεσε, ἐπειδὴ τῆλε μαχομένου τοῦ πατρὸς ἀνετράφη.

238. ΤΙ· ὄνομα οὐδέτερον, καὶ λαμβάνεται ἀντὶ τοῦ διατί. οἱ δὲ ἀπὸ τῆς Στοᾶς τοῦτο τὸ τί,

εἰ μὴ ὁ δακτύλιος etc.] In his, quae interpolatricem manum experta esse videntur, Philemo in animo habuit Aristophanis Plut. 1037,38.

ΓΡ. Διὰ δακτυλίου μὲν οὖν ἐμέ γ' ἂν διελκύσαις.

ΧΡ. Εἰ τυγχάνει γ' ὁ δακτύλιος ὢν τηλία,

ubi ii qui praeter codicum auctoritatem poetae τυγχάνοι reddendum esse praecipiunt, vereor ne egregie fallantur; oratione enim ab altera persona ad alteram transeunte, nexus eius conditionalis suspenditur, uti factum est in simillimo Sophoclis loco Oed. C. 647,48.

ΘΗΣ. Μέγ' ἂν λέγοις δώρημα τῆς ξυνουσίας.

ΟΙΔ. Εἰ σοί γ' ἅπερ φὴς ἐμμενεῖ τελοῦντί μοι.

237. Phav. h. v. p. 1755,37. Edidit Villoisonus ad Apollon. p. 775. De voce τηλύγετος R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 199. conferri iubet Heinsii Exerc. Sacr. 131.

οὕτω] Villoisonus: „forte τοῦτο.“

238. Phav. h. v. p. 1755,17 et 1759,40.

γλήνεα πολλὰ κεχάνδει, ἤγουν ἐχώρει. ἢ ἐκ τριῶν τινῶν ζώων σύνθετα. οἱ δέ φασι τριόφθαλμα, ἃ οἱ Ἀττικοὶ τριόττια καὶ τριοττίδας καλοῦσιν· οἱ δέ τινες τριῶν ἔχοντα Χαρίτων ἐκτυπώματα. τοῦτο δὲ οὐ καλῶς. οὐ γὰρ οἶδε Χαρίτων ἀριθμὸν ὁ Ποιητὴς κατὰ τοὺς ὕστερον. ἰστέον δὲ ὅτι οἱ ἀξιοθέατα εἰπόντες τὰ τρίγληνα, καὶ οἱ τριόφθαλμα, διὰ τὴν γλήνην οὕτως ἐνόησαν· δι' ἧς ὀφθαλμοῦ κόρη δηλοῦται, γινομένη κατὰ συγκοπὴν ἐκ τοῦ γαλήνη. γαληνιᾷ γὰρ ὁ νοῦς δι' αὐτῆς τῇ τῶν ὁρατῶν ποικιλίᾳ. ἢ παρὰ τὴν αἴγλην, αἰγλήνη, καὶ ἀποβολῇ τοῦ αι, γλήνη.

242. ΤΡΙΤΤΥ'Α λέγεται παρὰ τοῖς παλαιοῖς θυσία ἐκ τριῶν ζώων, οἷον δύο μήλων καὶ βοὸς, ὡς Ἐπίχαρμος· ἢ βοὸς, αἰγὸς, καὶ προβάτου. ἢ κάπρου, κριοῦ, καὶ ταύρου. ἡ δὲ τοιαύτη καὶ βούπρωρος ἐλέγετο, διὰ τὸ προηγεῖσθαι αὐτῆς, οἷα νηὸς πρῶραν, τὸν βοῦν. Φράζει δέ τινα τριττύαν καὶ ὁ Κωμικὸς ἐν τῷ, βουθυτεῖ ὗν, καὶ τράγον,

p. 786. sq. usque ad verba κόρη δηλοῦται. Cf. Eustath. ad Iliad. ξ, 183.

γλήνεα πολλὰ κεχάνδει] Iliad. ω, 192.

τριοττίδας] Cod. et Phav. τριοττίδα, Villois. τριοήτιδα.

242. Phav. h. v. p. 1775,57. Edidit Villois. ad Apollon. p. 841., apud quem verba ἢ κάπρου, κριοῦ καὶ ταύρου desunt.

ὁ Κωμικὸς] Plut. 820.

καὶ νῦν ὁ δεσπότης μὲν ἔνδον βουθυτεῖ
ὗν, καὶ τράγον, καὶ κριὸν ἐστεφανώμενος,

ubi v. Schol.

καὶ κριόν. ἐλέγετο δὲ καὶ δωδεκαῒς θυσία, ἡ ἐκ δώδεκα ζώων. ἡ δ' αὐτὴ καὶ διὰ τοῦ η δωδεκηῒς. ὡς δὲ ἑκατόμβη ἐλέγετο, ἡ ἐξ ἑκατὸν, καὶ χιλιόμβη, ἡ ἀπὸ χιλίων. τριττὺς δὲ, τὸ τρίτον μέρος τῆς φυλῆς· αὕτη γὰρ διῄρηται εἰς τρία μέρη, τριττῦς, καὶ ἔθνη, καὶ φατρίας. καὶ τριττυάρχης, ὁ ἄρχων τῆς τριττύος.

243. ΤΡΟΦΗ' λέγεται παρὰ τὸ τρέφω, τὸ πηγνύω· ἡ πηγνύουσα καὶ εὐσταθῆ ποιοῦσα τὰ σώματα. λαμβάνεται καὶ ἐπὶ τῆς ἀγωγῆς, καὶ παιδείας. καὶ τραφὲν ἀντὶ τοῦ ἀχθὲν, καὶ παιδευθὲν, καὶ ἐπὶ τῆς πολιτείας. Πλάτων, τῶν περὶ τὴν τροφὴν καὶ γέννησιν. τροφὴν μὲν γὰρ βρῶμα καὶ πόμα λέγομεν· γέννησιν, τὰ ἀφροδίσια. ἐν δὲ τρίτῳ Πολιτείας· καὶ ὑπὸ τῷ σοφωτάτῳ Χείρωνι τεθραμμένος, ἀντὶ τοῦ πεπαιδευμένος. καὶ τροφιμὴ δέσποινα, παρά τισιν ἡ μήτηρ.

244. ΤΡΥΓΟΔΑΙ'ΜΟΝΕΣ παρὰ τῷ 'Αριστο-

δωδεκαῒς] Cod. Phav. et Villois. δωδεκάκις, et mox pro δωδεκηῒς Cod. cum Villois. δωδεκάκη, Phav. δωδεκάκις. Utrumque emendavit Burneius.

243. Phav. h. v. p. 1778,33.

γέννησιν δὲ] δὲ male in ed. Angl. omissum, etiam Phavorinus habet.

ἐν δὲ τρίτῳ Πολιτείας] p. 391. HST.

244. Phav. h. v. p. 1779,49. Descriptum esse ab Aristophanis Scholiasta ad Plut. 302. adnotavit R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 128.

'Αριστοφάνει] Nub 295. De τρυγῳδία cf. Evanth. de tragoed. init. Bentl. Opusc. p. 317. sq. ed. Lips.

φάνει οἱ ποιηταί· ἐπειδὴ τὴν τρύγα χριόμενοι ἵνα μὴ γνώριμοι γένωνται, οὕτω τὰ αὐτῶν ᾖδον ποιήματα κατὰ τὰς ὁδοὺς ἁμάξαις ἐπικαθήμενοι. διὸ καὶ παροιμία, ὡς ἐξ ἁμάξης λαλεῖ, ἤγουν ἀναισχύντως ὑβρίζει. τοῦτο δὲ ἐποίουν οἱ κωμικοὶ ποιηταί.

245. ΤΡΩ´ΓΛΗ· ἡ ὀπή, καὶ τρωγλοδύται, οἱ εἰς τὰς τρώγλας οἰκοῦντες. λήγει δὲ εἰς η̄, οἷον τρώγλη, αἴγλη, ζεύγλη. τὰ γὰρ εἰς λ˘ᾱ θηλυκὰ, ἐπιπλοκὴν ἔχοντα τοῦ γ̄, εἰς η̄ λήγει.

246. ΤΥ´ΛΟΣ· ἀρσενικῶς, ὁ τετυλωμένος ὦμος καὶ τετριμμένος ἐκ τῆς σαρκὸς, ὁποῖον πολλάκις ἐπὶ τοῦ ὤμου γίνεται τοῖς ἀχθοφόροις, ἐκ τοῦ βαστάζειν τι συνεχῶς. καὶ Τηλεκλείδης τραχήλου τύλαν εἶπε, καὶ τὸν τύλον ἀπὸ τοῦ ἀχθοφορεῖν γεγενημένον. ἢ τὴν τοῦ τραχήλου σκληρότητα, ἐκ μεταφορᾶς τῶν ἀχθοφόρων ζώων.

247. ΤΥ´ΧΗ λέγεται κυρίως ὅταν ἄλλα ἐνεργῇ τις, εἶτ᾽ ἄλλο συμβῇ. τύχαι, καὶ αἱ ταπειναὶ πράξεις τῶν ἀνθρώπων καὶ ὑποτεταγμέναι, καὶ αἱ ὑψηλαὶ καὶ ἐπικρατοῦσαι. ἀπὸ τῆς τύχης γὰρ νομίζουσι ταῦτα γίνεσθαι τοῖς ἀνθρώποις, καὶ οὐκ ἀπὸ ἀβουλίας καὶ κακοβουλίας. διαφέρει δὲ ἡ τύχη τοῦ αὐτομάτου. τὸ τὴν μὲν τύχην, τοῦτο ὅπερ

245. Phav. h. v. p. 1781,7.
246. Id. h. v. p. 1783,12.
247. Phav. h. v. p. 1787,20.

εἴρηται εἶναι· τὸ δὲ αὐτόματον, ὅταν γένηταί τι, μηδαμῶς ἐνεργοῦντος μηδένος ἄλλου. ὥστε λέγομεν τὴν τύχην εἶναι φορὰν ἐξ ἀδήλου εἰς ἄδηλον, καὶ τοῦ αὐτομάτου αἰτίαν διὰ μόνης πράξεως. τύχην δὲ ἁπλῶς, τινὲς τὴν ἀγαθὴν τύχην.

Υ.

248. ὙΑΛΟΣ· παρ' Ἀττικοῖς, ὁ ὕελος· καὶ ὑαλόεν, διαφανές. Ἀριστοφάνης· τὴν ὕαλον λέγεις. ὅπερ κατασκεύασμά ἐστιν ὑάλου τροχοειδὲς παχὺ, ἐφ' οὗ χεόντες ἔλαιον, καὶ χρίοντες αὐτὸ, καὶ θερ-

248. Similia Phav. h. v. p. 1789,1. Lexici SGM. cod. Paris. Reg. 345. fragmentum in Bibl. Coisl. p. 476. Ὕαλος διὰ τοῦ ᾱ, οὐχὶ ὕελος· καὶ θηλυκῶς ἡ ὕαλος. καὶ ὑάλινος Ἀριστοφάνης [huc respicit Lexicon in Bekkeri *Anecd. Graec.* T. 1. p. 68,22.] Ἀχαρνεῦσιν·

ἐξ ὑαλίνων ποτηρίων καὶ χρυσιδίων.

Quem locum hic descripsi, ut lectionem ei codicis a memet ipso inspecti genuinam vindicarem· χρυσίδων, ut etiam hodie editur in Aristophanis exemplari, Acharn. 74., quod tamen a lexicographo ita discrepat, ut ἐκπωμάτων pro ποτηρίων praebeat, quod illius glossa fuisse videtur. Certe Suidas T. 1. p. 701. Ἔκπωμα· φιάλη, ποτήριον, cui addas Etymolog. Gudian. p. 178,9. Locum hunc Aristophanis attingere videntur etiam verba Lexici Bekkeri l. c. p. 316. χρυσίδες τίνες λέγονται: φιάλαι χρυσαῖ. Quae autem hic de v. χρυσὶς proferuntur, multum absunt ut vocis χρυσίδιον, formatae ut ἀργυρίδιον, auctoritatem contendant infringere: contra in marmore impensa illustrissimi comitis Elgini Athenis Londinum transportato vocabulum testor me ipsum legisse.

Ἀριστοφάνης] Nub. 766.

μαίνοντες, προσάγουσι θρυαλλίδα· καὶ οὕτως ἅπτουσιν. ὅτι δὲ ὕαλος θηλυκῶς καὶ διὰ τοῦ ᾱ, φανερὸν παρ' Ἀττικοῖς. Ὅμηρος δὲ τὸ ὄνομα οὐκ εἶπεν, ἀλλὰ παρ' αὐτῷ καὶ τοῖς ἀρχαίοις ἤλεκτρός ἐστιν, ὕαλος δὲ οὔ.

249. ὙΪΚΌΝ ΔΈΡΜΑ· τὸ τοῦ ὑός, ὅπερ ἐν χρήσει οὐχ εὕρηται, εἰ μὴ παρὰ Ἀξιονίκῳ· ἡμάρτηται δέ. οὐδέποτε γὰρ λέξις σημαίνουσα μερὸς σώματος ἔχει εἰς κ̄ο̄ν̄ κτητικὸν, ἀλλὰ διὰ καθαροῦ τοῦ ο̄ν̄. οὐ γὰρ λέγομεν χοιρικὸν κρέας, ἀλλὰ χοίρειον· οὐδὲ ἀνθρωπικὸς πούς, ἀλλὰ ἀνθρώπειος. οὕτως οὐ δεῖ λέγειν ὑϊκὸν, ἀλλὰ ὕειον δέρμα. ἀποροῦσι δέ τινες λέγοντες, διατί Αἰάντειος υἱὸς λέγεται, Αἰάντειος δὲ ἀδελφὸς οὐ λέγεται; καὶ ἔστιν

θερμαίνοντες] Burn. θερμάναντες: illud Cod., Phav. et Schol. Arist. Nub. l. c.

εἶπεν] Vix dubito quin Phavorini οἶδεν hic reponendum sit: ita Clemens Alex. Coh. ad Gentes p. 18. A. ed Sylb. Σοφοκλῆς δὲ Θρᾷκα οἶδεν αὐτὸν, ἄλλοι δὲ Ἀρκάδα. Etymol. M. p. 31,12. 263,49. 313,1. Atque οἶδεν habet etiam Schol. Arist. l. c. simili contextu.

ἠλεκτρός] V. Dammii *Lex. Hom.* p. 1393.

249. Phav. h. v. p. 1791,66. Etym. p. 775,30.

ὙΪΚΌΝ] Prima deest littera ita ut, quum utramque formam ὑϊκὸς et ὑεικὸς apud veteres in usu fuisse, Ruhnkenius ad Timaeum p. 262. demonstraverit, ambigere liceat, hoc loco utrum ὙΕΙΚΌΝ, an ὙΪΚΌΝ supplendum sit: Phavorini igitur cum Burneio reddidi lectionem ὙΪΚΌΝ.

Ἀξιονίκῳ] Comicum, credo, Philemo dicit, de quo Fabric. Bibl. Gr. T. 2. p. 425. sq. Harl.

εἰπεῖν, ὅτι τῶν κτητικῶν ἀντωνυμιῶν πρὸς μείζονα λαμβάνεται ἡ σχέσις, καὶ πρὸς ἴσον, καὶ πρὸς ἥττονα. πρὸς μείζονα μὲν, οἷον ὁ ἐμὸς δεσπότης· πρὸς ἴσον δὲ, οἷον ὁ ἐμὸς ἀδελφός· πρὸς ἥττονα δὲ, οἷον ὁ ἐμὸς δοῦλος. ἐπὶ δὲ τῶν κτητικῶν ὀνομάτων, οὐδὲν τοιοῦτον εὕρηται. ἀεὶ γὰρ πρὸς ἥττονα θέλει εἶναι ἡ σχέσις, καὶ οὔτε πρὸς μείζονα, οὔτε πρὸς ἴσον. οὐδεὶς γὰρ λέγει, Ἀριστάρχειος πατὴρ, ἢ φίλος· Ἀριστάρχειος δὲ ἀγρὸς λέγεται. τούτου χάριν, Αἰάντειος μὲν υἱὸς λέγεται, ἐπεὶ πρὸς ἥττονά ἐστιν ἡ σχέσις· Αἰάντειος δὲ ἀδελφὸς οὐ λέγεται· πρὸς ἴσον γὰρ ἡ σχέσις ἐστίν.

250. ὙΜΈΝΑΙΟΣ· ᾠδή τις ἐν γάμοις ᾀδομένη, ὡς τὸ, ὑμέναιος ὀρώρει. γίνεται δὲ ἡ λέξις, ἢ παρὰ τὸ ὑμνεῖν, ὡς οἷον ὑμναιός τις· ἢ παρὰ τὸ ὁμοῦ ναίειν τοὺς νυμφίους, ὡς οἷον ὁμόναιος· ἢ παρὰ τὸν παρθένιον ὑμένα, ὡς παραδηλοῖ καὶ τὸ, ὑμὴν ὦ, ὑμέναιε ὦ, παρὰ τῷ Κωμικῷ. οὗ δὴ διαλέπτου ὑμένος χρῆσις καὶ παρὰ τῷ Δειπνοσοφιστῇ ἐν τῷ, ἐξήλαυνόν τινες τὸν ἄργυρον εἰς ὑμένος ἰδέ-

μείζονα] Cod., Phav., et Etym. μείζονας. Loco μείζονα, quod mox sequitur, Phav. et Etym. μείζους.

250. Phav. h. v. p. 1793,46.

ὑμέναιος ὀρώρει] Iliad. 6,493. Burneii operae ἀρώρει. Phav. mox παρθένειον.

Κωμικῷ] Av. 1742.

διαλέπτου] Cod. et Phav. διαλέκτου.

παρὰ τῷ Δειπνοσοφιστῇ ἐν τῷ] Athen. 6. p. 230. D.

αν, ἤγουν ἄγαν ἐλαύνοντες λεπτότατον ἐποίουν ὑμένος δίκην. ἢ ὑμέναιος, ἀπὸ Ὑμεναίου τινὸς Ἀργείου, ὃς παραπλέων Ἀθήνας ἔπαυσε βίαν ἣν λησταὶ Πελασγοὶ ἐπῆγον παρθένοις Ἀττικαῖς. αἳ γάμῳ νομίμῳ ὕστερον ἐκδοθεῖσαι, ᾠδὴν ἦσαν ἐπ' αὐτῷ, ἣν ὁμωνύμως ἐκάλουν ὑμέναιον. καὶ ἐξ αὐτοῦ, πᾶς ὁ ἐν γάμῳ ὕμνος, ὑμέναιος.

251. ὙΠΕΡΩΪΟΝ λέγεται τὸ ὑπερκείμενον οἴκημα· ὦα γὰρ κατὰ γλῶσσαν τὰ οἰκήματα. διὸ καὶ κλίμακος δέεται ὑψηλῆς ἡ τοῦ ὑπερῴου ἄνοδός τε καὶ κάθοδος, ὡς δηλοῖ τὸ,

κλίμακα ὑψηλὴν κατεβήσατο ὑπερῴου.

ἔχει δὲ προσγεγραμμένον τὸ ῐ.

252. ὙΠΟΣΤΑΣΙΣ ἐστὶν οὐσία μετὰ ἰδιωμάτων, οἷον ὁ δεῖνα· ἢ ὑπόστασίς ἐστι, τὸ καθ' ἑαυτὸ διωρισμένως τῶν ὁνογενῶν τε καὶ ὁμοειδῶν ὑφεστός· ἢ ὑπὸ τῆς οὐσίας συνεχομένη.

ἢ ὑμέναιος, ἀπὸ Ὑμεναίου etc.] R. W. in *Mus. Crit. Cant.* vol. 1. p. 199. „Quae sequuntur usque ad ὑμέναιον apud Eustathium invenias p. 1157 = 1213,32. Confer quoque Schotti Annot. in Proclum p. 450. ed. Gaisford."

251. Phav. h. v. p. 1802,18.

κλίμακα ὑψηλὴν etc.] E Phav. post κλίμακα addi potest δ', ut est in Odyss. α, 330., quem locum Philemo respexisse videtur:

κλίμακα δ' ὑψηλὴν κατεβήσατο οἷο δόμοιο.

προσγεγραμμένον τὸ ῐ] E Cod. editum ὑπογεγραμμένον τὸ ῐ, quod cur mutaverimus, diximus ad §. 139.

252. Phav. h. v. p. 1810,47.

253. ῾ΥΠΩΠΙΑ λέγει τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ἁπλῶς μέρη, ἤγουν τὴν πρόσοψιν, ὁ Ποιητής. οἱ δὲ ὕστερον ὑπώπιά φασι τὰς περὶ τοὺς ὀφθαλμοὺς πληγάς· ἐξ ὧν, ὡς ἐκ μέρους καιριωτάτου, καὶ σώματος ὑπωπιασμὸς μεταφορικῶς ὁ κατὰ σύντηξιν. ὅτι δὲ ὑπώπια αἱ περὶ τοὺς ὀφθαλμοὺς

253. Phav. h. v. p. 1812,52. Edidit Villois. ad Apollon. p. 876.

ὁ Ποιητής] Iliad. μ, 465.

τὰς περὶ τοὺς ὀφθαλμοὺς πληγάς] De hac vocis significatione v. Werferum in Thierschii *Act. Phil. Mon.* vol. 2. fasc. 4. p. 539. Adde Orion. Theb. Etym. p. 155,5. 169,30. ὑπώπια γὰρ λέγεται τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς πελιώματα. ὡς δέ τινες, ὦπες, ὅτι ὀπῇ καὶ τρήματι ἐοίκασι. Σωρανός: unde corrigas Etymologicum Gudianum, quod editorem non diligentiorem reperisse valde dolemus, p. 579. ὑπώπια δὲ λέγονται τὰ ὑπὲρ [l. ὑπὸ] τοὺς ὀφθαλμοὺς περιδνώματα etc., ubi loco monstrosae vocis περιδνώματα scribendum erat πελιδνώματα, quam vocem et auctoritate et analogia satis firmatam non erat quod Scholiastae Theocrit. 5,99. et Zonarae Lex. T. 2. p. 1889. Bastius ad Gregorium Schaeferi p. 288. eripi iuberet. Bekkerum in transcursu hic noto in *Anecd. Graec.* T. 1. p. 312. perperam edentem: Ὑπωπιάζων: ὑπτίως καὶ οὐκ ὀρθῶς περιπατῶν, ubi scribendum, nisi ita ipso in codice scriptum fuit, ὑπτιάζων: pertinet enim haec Lexicographi glossa ad Aeschinem in Timarch. p. 134. ed. Reisk. (18. ed. Steph.) etiam Thomae M. v. ὑπτιάζειν p. 877. ed. Bern. laudatum. Nec tamen Bekkerus tantopere inculpandus est, quum in eundem errorem etiam alii scribae inciderint: ita in corruptissimo Philostrati Imag. 2,6. p. 818. loco codex Paris. Reg. 1696. monente Boissonado ad Heroic. p. 401. ὑπωπιασμῶν pro sincero ὑπτιασμῶν, quod quatuor alii a me inspecti servant, quorum unus 1761. cum glossa κατακλίσεων ὑπτιῶν.

πληγαὶ μεθ' Ὅμηρον, δῆλον καὶ ἀπὸ σκώμματος παλαιοῦ. παθόντος γάρ τινος πρόςκομμα, καὶ ἐρωτηθέντος τί τοῦτο, καὶ ἀμαθῶς εἰπόντος ὡς ὑπώπιον πάθοι, ἀκούσας τις τῶν ἀστείων, καὶ ταινιώσας τὴν κεφαλὴν ἀλύων ἐκάθητο. ἐρωτηθεὶς δὲ; τί πάθοι; πρόςκομμα, ἔφη. καὶ οὕτω πλατὺν τοῖς ἀκροαταῖς ἐκίνησε γέλωτα· ὡς ἐπίσης γελοῖον ὄν, ὑπώπια φάναι παθεῖν περὶ πόδας, καὶ πρόςκομμα περὶ πρόσωπον. ἐπὶ ποδῶν γὰρ κυριολεκτεῖται τὸ πρόςκομμα· ἐπὶ προσώπου δὲ τὸ ὑπώπιον, ὃ παρῆκται καθ' ὁμοιότητα τοῦ ἐνώπιον, μετώπιον, ἔτι δὲ καὶ παρώπιον, τὸ περὶ τὰς ὄψεις τῶν ἵππων δέρμα. ὅπερ οἱ θεωρικοὶ πάρωπον λέγουσιν. ἰστέον δὲ

ὅτι

ὑπώπιον πάθοι] Cod. et Phav., et hinc etiam Villois. πάθος, quod emendavit Burneius.

ταινιώσας τὴν κεφαλὴν] Herodoti Diction. p. 618. ed. Franz. Ταινίαν· διάδημα.

ἔτι δὲ καὶ] Ita e Phav. Burn.: Cod. ἔστι δ. κ., quas voculas ubivis fere confundi constat.

θεωρητικοὶ] E Cod. Burn. θεωρικοὶ edidit: Villois. θεωριτικοὶ, addens: „lege θεωρητικοὶ," idque rectissime, adstipulante Phavorino quoque. Eaedem voces in Aristidis Panath. T. 1. p. 105. ed. Jebb. confunduntur, quod nil mirum, quum quam prona ad commutandum inter se sit terminatio ικος et ητικος, abunde pateat: v. Heindorf. ad Plat. Gorg. 42. p. 54. Ceterum vox a nobis Philemoni restitituta editorem Etymologici Gudiani egregie nuper elusit, in his p. 260,49. Θεωρικὸς καὶ θεωτικὸς διαφέρει· θεωρικὸς μὲν γάρ ἐστιν, ὁ περὶ θέατρά τινα καὶ δημώδη ἀσχολούμενος· θεωτικὸς, ὁ δι' ὑπερβολὴν φρονήσεως καλῶς δυνάμενος θεωρῆσαι λογικὰ θεωρήματα,

ὅτι ὥςπερ γελοῖον καταγαγεῖν εἰς πόδας τὸ ὑπώπιον, οὕτω καὶ τὸ ἀναγαγεῖν εἰς τοὺς ὀφθαλμοὺς τὸ ῥαιβόν. ῥαιβοὶ μὲν γὰρ πόδες, οἱ ἀπεναντίοι τοῖς βλαισοῖς.

254. ΥΨΙΖΥΓΟΣ ΖΕΥΣ· ὁ ἀφ' ὕψους τὰ κάτω κυβερνῶν, καὶ ἀπὸ ζυγῶν κυβερνητικός· ἢ ὁ ἄνωθεν ταλαντεύων, οἷον τὰ κατὰ ἀνθρώπους. διὸ λέγει Ὅμηρος ὅτι ὕπερθεν, ἤγουν ἐκ θεοῦ, νίκης πείρατα ἔχονται. καὶ γίνεται τοῦτο ἀφορμὴ τοῦ γραφῆναι, τὸν Δία μεταχειριζόμενον τάλαντα ὡς ἐν ζυγοστατήματι. τοῦτο δὲ νοεῖν οὐ πάνυ φιλοῦσιν οἱ παλαιοί, ζυγὸν εἰδότες ἅρματος καὶ ἁμάξης. ὅθεν καὶ ζυγόδεσμον Ὅμηρός φησιν ἱμάντα, τὸν τῶν ζώων ζευγνῦντα ζυγόν. καὶ ζυγὰ, αἱ τῶν ἐρεσσόντων καθέδραι. ὅμως δὲ οἱ μεθ' Ὅμηρον οἴδασι ζυγὸν καὶ ἐπὶ σταθμοῦ. καὶ αὐτοὶ παρὰ τὸ δύο

ubi altero loco θεωρητικὸς esse legendum quivis videt, praeter ineptissimi indicis confectorem θεατικὸς potius suspicantem. At ego talia pudenda quum noto, mihimetipsi fere putidus esse videor.

ἀπεναντίοι] Vocabulo Lexica augeantur, firmato et analogia v. ὑπεναντίος, et auctoritate Schol. Aristoph. Nub. 95.

254. Phav. h. v. p. 1815,41. Edidit Villois. ad Apollon. p. 819.

Ὅμηρος ὅτι ὕπερθεν etc.] Iliad. η, 102. Mox pro τοῦτο Villois. τούτου edidit, cum nota: „mallem τοῦτο." At vere ita et Cod. et Phavorinus.

ζυγοστατήματι] Vocem Lexicis addas, etiam Eudociae Violar. p. 199. usurpatam.

ζυγόδεσμον Ὅμηρός φησιν ἱμάντα] Iliad. ω, 270.

ἄγειν ἐτυμολογικῶς, τὰς ἑκατέρωθεν δηλαδὴ πλάστιγγας. ἀφ' οὗ καὶ παροιμία τὸ, ζυγοῦ πρὸς δίκην εὐθέστερος. καὶ ὑψίζυγος, ὁ ἐπὶ μετεώρου θρόνου καθήμενος.

255. ῾ΥΨΙΠΕΤΗΣ βαρύνεται κατὰ Ἀρίσταρχον, πρὸς διαστολὴν τοῦ ὑψιπετὴς, ὃ δηλοῖ τὸν ἐξ ὕψους πεσόντα. οἱ δὲ περισπῶντες αὐτὸ ἐκ τοῦ ὑψιπετήεις, ὡς τιμήεις τιμῆς Αἰολικῶς, αἰγλήεις αἰγλῆς, πιθανῶς μὲν ποιοῦσιν. ἐπικρατεῖ δὲ ὅμως ἡ τοῦ Ἀριστάρχου γραφή. ὥσπερ δὲ ὑψιπέτης, βαρυτόνως· οὕτω καὶ εὐπέτης, ὁ εὖ πετόμενος· οὕτω δὲ ἴσως καὶ προπέτης, ὁ προπετόμενος. εὐπετὴς μέντοι, ὁ εὖ πίπτων, ἤγουν συμβαίνων· ὅθεν καὶ εὐπετὲς πρᾶγμα, τὸ εὔκολον. καὶ προπετὴς, ὁ θρασὺς, καὶ τῶν ἄλλων ἔμπροσθεν θέλων πίπτειν τῇ τάξει.

Φ.

256. ΦΑΛΑ'· κόσμος τῆς περικεφαλαίας. παρὰ τὸ φάω φῶ, φάσω, ὄνομα φαλὸς καὶ φαλὰ, διὰ τὸ λαμπρότατον. ἡ κόρυθος φάλος, τὸ προμετωπίδιον ἀνάστημα τῆς περικεφαλαίας. εἰσὶ γάρ τινες ἧλοι λαμπροὶ, ἕνεκα κόσμου τῆς περικεφαλαίας. φαλὸν γὰρ τὸ λαμπρόν· ὅθεν καὶ φαλα-

255. Phav. h. v. p. 1815,66.

256. Phav. h. v. p. 1818,39. Etym. M. p. 787,3. Caeterum voce ἀσπιδίσκος hinc auge Lexica.

κρὸς, ὁ ἔχων φαλὸν τὸ κάρα· καὶ φάλαρα, τοὺς προμετωπιδίους ἀσπιδίσκους, τὴν κόσμησιν, φημὶ, τὴν κατὰ τὸ μέτωπον τῶν ἵππων, ἢ τὰ τῶν γνάθων σκεπάσματα. ἀπὸ τοῦ φάος, φαλὸς καὶ φάλαρος.

257. ΦΑ'ΛΑΓΞ· οὐ μόνον στρατιωτικὸν σύστημα, ὅπερ καὶ μόνον τῆς λέξεως ταύτης οἶδε σημαινόμενον ὁ Ποιητὴς, ἀλλὰ καὶ ὁ ἀράχνης παρὰ τοῖς ὕστερον, ὁ μείζων, καὶ τὸ φαλάγγειον. τῆς δὲ τοιαύτης φάλαγγος συχναὶ μὲν αἱ χρήσεις. Αἴλιος δὲ Διονύσιος παράγει τοιαύτην ἐκ τοῦ κωμικοῦ Πλάτωνος· ἐοίκασιν ἡμῖν οἱ νόμοι τοῖσι λεπτοῖς ἀραχνίοισιν, ἃ τοῖσι τοίχοις ἡ φάλαγξ ὑφαίνει. φάλαγξ δὲ, ἡ τάξις· καὶ τὰ τῶν δακτύλων ἄρθρα· καὶ νεὼς ὑπερείσματα.

257. Phav. h. v. p. 1818,50. Edidit Villois. ad Apollon. p. 816.

ὁ Ποιητὴς] Loca quae huc pertinent, collegit Dammius *Lex. Hom.* p. 1825.

ὁ ἀράχνης] Vide Sturzii *Lex. Xenoph.* v. φαλάγγιον et φάλαγξ. Adde Julium African: 13. p. 492. ed. Vett. Mathem. Parisiis 1693. Mox Phav. accuratius, οὐ μόνον ὁ μείζων ἀλλὰ καὶ ὁ ὑποκοριζόμενος εἰς φαλάγγειον, quae verba etiam Eustathius ad Iliad. ν. p. 591. (924. ed. Rom.) simili contextu addit.

τοιαύτην] Villois. ταύτην.

Πλάτωνι] R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 199. „Platonis Comici aetate ἀράχνιον, *araneum*, fuit; apud recentiores Graecos, uti ex Heliodoro constat, *aranea*. Cf. Coray. ad Heliodor. 2. 351.“

νεὼς ὑπερείσματα] Confert R. W. l. c. Pollucem 7,190.

258. ΦΑ'ΡΑΓΞ· κοιλὰς ὀρεινὴ, καὶ τὸ ἀπόσχισμα τῆς γῆς, ὃ τὸ παρεμπίπτον ὕδωρ πίνει. καὶ τὸ τῆς γῆς βάραθρον, ὃ ἐὰν εἰς αὐτὸ ὕδωρ ἐμπέσῃ ἀφανὲς γίνεται· εἰς ἄδηλον γὰρ τὸ ὕδωρ καταναλίσκεται.

259. ΦΑ'ΡΜΑΚΑ· τὰ θεραπεύοντα καὶ τὰ φθείροντα. Φάρμακα, καὶ τὰ χρώματα. Φαρμακεία δὲ, ὡς ἐπιπολὺ, ἡ διὰ δηλητηρίου τινὸς γενομένη βλάβη. γοητεία δὲ, τὸ * * * ἐπὶ ἀνδρός· Φαρμακὶς, ἐπὶ γυναικός. μέση λέξις δὲ τὸ φάρμακον· ἐπί τε ἀγαθοῦ παραλαμβανομένη, παρὰ τὸ φέρειν ἄκος· καὶ ἐπὶ κακοῦ, παρὰ τὸ φέρειν ἄχος. καὶ φαρμακίδας γυναῖκας τὰς Θετταλὰς καλοῦσιν· διαβάλ-

258. Phav. h. v. p. 1821,4.

259. Id. ibid. lin. 29. Cf. Thom. M. h. v. p. 883. sq. Bern. Edidit Villois. ad Apollon. p. 820. sq.

γοητεία δὲ, τὸ * * * ἐπὶ ἀνδρός] Etsi nullum lacunae in Cod. vestigium compareat, tamen ipsa verba, quae et sensus et structurae nexu manifeste carent, dubitare minime sinunt, nonnulla excidisse hic verba: quae nescio an ope Thomae l. c. et v. φαρμακὸς p. 885. ita supplenda recte suspicatus sim: γοητεία δὲ, τὸ ἐπικλήσεσί τε καὶ ἐπῳδαῖς χρῆσθαι. φαρμακὸς ἐπὶ ἀνδρός etc. Similia ad calcem paragraphi repeti, neminem, spero, offendet. Mox pro φαρμακὶς Villois. vitiose φάρμακον.

ἄκος] Cod. ἄχος, quod e Phav.,) ut videtur, mutavit Villois. in ἄχος, addens: „lege εὖχος.“ Mox pro ἄχος idem „εὖχος, scribi suadens ἄχος. Codex autem εὖχος, consentiente Phav., unde Burn. optime ἄκος fecit: Etym. M. p. 787,48 Φάρμακον — παρὰ τὸ φέρειν ἄκος, φέρακόν τι ὄν· ἐπὶ δὲ τοῦ κα-

λονται γὰρ ὡς φαρμακίδες αἱ Θετταλαί. φασὶ γὰρ ὅτι ἡ Μήδεια φυγοῦσα κίστην ἐξέβαλε φαρμάκων ἐκεῖ, καὶ ἀνέφυσαν. μεμύθευται δὲ ὡς αἱ Θεσσαλαὶ φαρμακίδες τὴν σελήνην ταῖς ἐπῳδαῖς κατασπῶσι. τοῦτο δὲ ποιεῖν δοκοῦσιν αἱ Θετταλαὶ σφαλεῖσαι τῆς ὑπολήψεως, καθὸ Ἀγλαονίκη Ἡγεμόνος θυγάτηρ ἔμπειρος οὖσα τῆς ἀστρολογίας, καὶ εἰδυῖα τὰς ἐκλείψεις τῆς σελήνης ὁπότε μέλλοιεν γενήσεσθαι, ἔφασκε τὴν θεὸν κατασπᾷν, καὶ παραχρῆμα περιέπιπτε συμφοραῖς, τῶν οἰκείων τινὰ ἀποβάλλλουσα, καὶ δίκην δοῦσα τοῦ ἁμαρτήματος. ὅθεν κατὰ τὸν βίον λέγεται παροιμία ἐπὶ

κοῦ, παρὰ τὸ φέρειν τὸ ἄχος. V. Orion. Etym. p. 158,33. Etym. Gudian. p. 549,11. 16.

φαρμακίδας γυναῖκας] R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 199. confert Aristophanis Nub. 749. Dein *ἀνέφυσαν* Burn. recte e Phav. pro *ἀνέφυσεν*, quod Codex praebet servavitque Villoisonus.

μεμύθευται δὲ ὡς αἱ Θετταλαὶ etc.] Quae abhinc sequuntur usque ad *κατασπᾷ* ad verbum fere repetuntur a Schol. Apollon. Rhod. 4,59., monente iam Schneidero in Walchii *Philologische Bibliothek* vol. 2. fasc. 6. p. 523., qui praeterea quae Hegemonis, Thessali filia hic audiat Aglaonice, docte adnotavit duobus apud Plutarchum locis Hegetoris contra venditari, p. 417. A. et p. 145. C.; quo posteriori loco miror Wyttenbachium in textum non recepisse Ἀγλαονίκης, quod pro vitiosa scriptura Ἀγανίκης probabiliter legendum esse in notis attulerit.

ἀποβάλλουσα] In Ed. *ἀπαβάλλουσα*, quod operis tribuendum videtur. Illud Cod. et Phav., etiam Schol. Apollonii, mox *διδοῦσα* exhibens.

τῶν συμφοραῖς κεχρημένων, ὅτι τὴν σελήνην κατασπᾷ. Φαρμακὶς, ἡ γυνή· καὶ εἶδος φαρμάκου· καὶ ἡ ἀκρίς. Φαρμακὸς δὲ ἀνὴρ παρ' Ἀθηναίοις, ὁ μάγος.

260. ΦΕΡΝΗ'· ἡ τῆς γυναικὸς προῖξ, ἡ δωρεὰ γυναικὶ διδομένη· οἷον, προθεὶς πατὴρ φερνάς· ἣν Ὅμηρος καὶ μείλια, ἢ ἐπιμείλια λέγει, διὰ τὸ τὸν ἄνδρα μειλίσσειν, ἤτοι γλυκαίνειν, ὥσπερ ἕδνα

φαρμακὸς] Recte ita Villois., ut in Phav. quoque exstat: Burn. φάρμακος. Arcadius de accent. p. 51,6. Τὰ εἰς κος ὑπερδισύλλαβα παραληγόμενα τῷ ᾱ προσηγορικὰ ἢ ἐπιθετικὰ ὀξύνεται — φαρμακὸς, ὁ ἐπὶ καθαρμῷ τῆς πόλεως τελευτῶν. De v. φαρμακὸς cf. Demosthen. in Aristogit. p. 794,4. Reisk. Etym. Gudian. p. 549,27. Orionis fragm. ibid. p. 638,60. Eustath. p. 1415 (in Odyss. p. 797,5. ed. Rom.) Lexicon Bekkeri *Anecd. Gr.* T. 1. p. 315. Schweighaeuser. ad notabilem illum Hipponactis locum apud Athen. 9. p. 370. B.

ὁ δ' ἐξολισθὼν, ἱκέτευε τὴν κράμβην
τὴν ἑπτάφυλλον, ᾗ θύεσκε Πανδώρῃ
Θαργηλίοισιν ἔγχυτον πρὸ φαρμάκου,

ubi V. D. de vitio in vocabulo φαρμάκου media producto, suspicantibus, etiam Meineke *Cur. Crit.* p. 35. fere adsentitur. At si vitium fuit, ipsius poetae fuit, non scribae. Nam praeter insignem Photii Lex. p. 467. locum, quo ipse Meineke usus est, non dubito quin Hipponactis versum, nisi eiusdem insolitae productionis syllabae etiam alia fuere exempla, etiam Didymus spectarit, quum vocis φαρμακὸς penultimam circumflexo augendam esse testibus Harpocrat. h. v. p. 176. ed. Gron. et Etym. M. p. 787,55. praeciperet.

260. Phav. h. v. p. 1825,44.

Ὅμηρος] Iliad. ι, 147. 289. Ad priorem locum cf. Heynii Obs. T. 5. p. 557.

λέγεται παρὰ τὸ τὴν νύμφην ἥδειν, ἡδανά τινα ὄντα, καὶ ἐν συστολῇ καὶ συγκοπῇ, ἔδνα. ἰστέον ὅτι Ἀρίσταρχος μὲν ἓν μέρος λαμβάνει τὸ ἐπιμείλια, ὡς τὸ ἐπιφέρνια. Ἀπολλόδωρος δὲ διαλύει, λέγων, ἐπιδώσω μείλια. τὸ δὲ ἐπιμείλια κατὰ Ἡρόδωρον προπαροξύνεται. τὰ γὰρ διὰ τοῦ ιον

Ἡρόδωρον] Hoc de v. ἐπιμείλια praeceptum licet ab Eustathio ad Iliadis l. c. etiam Herodoro tribuatur, magna tamen me subit suspicio, ne nomen Herodori corruptum sit, quem inter Grammaticos Alexandrinos referri equidem ignoro. Nam qui frequenter memoratur Herodorus, Argonautica scripsit nec non alia quae mythologiam potius quam grammaticen attingunt: de quo adeas Toupii *Animadv. in Scholia Theocrit.* 13,56. p. 516. ed. Berol. Quum autem tralatitia sit nominum *Herodori*, *Herodoti*, *Herodiani*, *Heliodori* commutatio, quam attigere Toupius l. c., Valckenarius ad Schol. Eurip Phoen. 1163. p. 123. Tollius ad Apollon. Lex. Hom. v. φοῖβος p. 683. Bastius *Commentat. Palaeogr.* p. 812. et Lindemannus ad Prisciani Op. Minora p. 380., quumque Philemo non semel Herodiani auctoritate utatur, non alienum visum est de huius nomine hic oblitterato cogitare, cuius de prosodia sive de accentibus scripta in Grammaticorum manibus constat tritissima fuisse. Possis autem etiam *Herodotum* Grammaticum hic agnoscere velle, cuius mentionem duobus Etymologi M. locis et uno Prisciani fieri nuper Lindemannus l. c. p. 379. adnotavit, quibus addi debuerat Suidae auctoritas v. ζυγομαχεῖν T. 2. p. 16. (ex quo loco alteri Etymol. M. p. 412,19. restitue ἐπερείδουσι τὸ βάρος πρὸς ἀλλήλους· κέχρηται Ὑπερίδης· ἢ ἀπὸ μεταφορᾶς etc.) et Scholiastae Oppiani Hal. 1,147. At uti Hermanno *Epistola ad Lindemannum* ad calcem Prisciani eius p. 398., quem Prisciano Heliodorum metricum recte vindicasse arbitror, ita et mihi omnino Herodotus Grammaticus tam suspectus

οὐδέτερα μονογενῆ τρισύλλαβα, μὴ ὄντα ὑποκοριστικὰ, εἰ ἔχει τὴν τρίτην ἀπὸ τέλους μακρὰν φύσει, διὰ τοῦ ῑ ἐκφερομένην ἢ μόνον ἢ σὺν ἑτέρῳ φωνήεντι, προπαροξύνεται· οἷον. ἴλιον εἴριον, ποίμνιον, λείριον· οὕτω καὶ μείλιον. σπάνια δὲ τὰ παροξύτονα, ὡς τὸ ἰνίον. τειχίον δὲ καὶ κλειδίον ὑποκοριστικά εἰσιν.

261. ΦΙΛΗΤΗΣ· ὀξυνόμενον μὲν σημαίνει τὸν ἐραστὴν, οἷον φιλητής. παροξυνόμενον δὲ σημαίνει τὸν κλέπτην. φιλήτην παράγουσί τινες τῶν παλαιῶν σχολιαστῶν, ἵνα ᾖ φιλήτης ὁ παρ' Ἡσιόδῳ μὴ ἀπὸ τοῦ φηλῶ, φηλήσω, τὸ ἀπατῶ· αὐτὸ γὰρ τρίτης ἐστὶ συζυγίας, ὡς δηλοῖ παρὰ Λυκόφρονι τὸ, φηλώσας πρόμον· ἀλλὰ ὁ κλέπτης, παρὰ τὸ ὑφελεῖν, οἱονεὶ ὑφειλήτης διὰ διφθόγγου·

est, ut eius nomen non sine corruptela, fortasse nominis Herodiani, suspicer ferri. Ἡρωδιανὸς enim in MS. saepe compendiose Ἡρωδ' scriptum meminimus.

261 Phav. h. v. p. 1832,47. De voce cf. Boissonad. ad Herodian. Epimerism. p. 143.

Ἡσιόδῳ] Op. 375. Vox pluries in Hymn. Hom. in Mercur. occurrit, ubi Hermannus φηλήτης edi constanter iussit.

Λυκόφρονι] Cass. 785. Cod. tamen et Phav. φηλήσας, reiectum a Burneio.

ὁ κλέπτης] R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 199. „Mercurius φηλητῶν ἄναξ, in Eurip. Rhes. 216. A voce φηλὸς, Gallicum *filou, filouter* derivatum esse censet Coray. Vossio, qui a φιλήτης Latinum *fallere* deducit, adstipulatur Hemsterhus. in Poll. IX. 136.“ Cf. Reiz. de inclinat. accent. p. 114

καὶ ἀφαιρέσει τοῦ υ, καὶ ἀπελεύσει τοῦ ε, φιλήτης διὰ τοῦ ι.

262. ΦΙΛΟΨΕΥΔΗ'Σ· ὁ τὰ ψεύδη φιλῶν. ἰδίᾳ δὲ Ὅμηρος τὸν φιλοψευδῆ, ἤγουν τὸν ἀπατεῶνα, τὸν εἰδότα ἀπατᾷν. ἰστέον ὅτι τὰ ὑπὲρ μίαν συλλαβὴν ὀξύτονα κατὰ τοὺς παλαιοὺς καὶ ἐν τῇ συνθέσει ὀξύνονται, οἷον σαφὴς, ἀσαφής· ἀθλητὴς, καὶ φιλαθλητής· ἐραστὴς, ἀντεραστής· ψευδὴς, φιλοψευδής· ποδὴς, καταποδής· χωρὶς τοῦ ἀληθὴς, τούτου γὰρ τὸ σύνθετον φιλαλήθης· καὶ τοῦ κριτὴς, οἷον ὀνειροκρίτης. ταῦτα γὰρ μεταβολὴν τόνου ἔπαθον.

263. ΦΙΤΡΟ'Σ· ὁ κορμός. ὡς μάλιστα ἔοικεν ὁ φιτρὸς φιτυρός τις εἶναι, ὡς ἀπὸ τοῦ φιτὺ, ὃ δηλοῖ φυτὸν, ἢ φύτευμα, ὡς Ἀριστοφάνης ἐν Εἰρήνῃ· πόθεν τὸ φίτυ; τί τὸ γένος; τίς ἡ σπορά; πάντως δὲ ἐκ τοῦ φιτύω φιτύσω τὸ γεννῶ, φίτυς ὁ γεννῶν. καὶ τὸ οὐδέτερον φίτυ. καὶ φίτρον τὸ αὐτὸ, ἤτοι τὸν κορμὸν, σημαίνει. δηλοῖ δὲ καὶ τὸ μάταιον, καὶ τὸ μέσον τοῦ ῥινίου, τὸ κοῖλον.

264. ΦΛΥΚΤΑΙ'ΝΑΣ· τοὺς ἐν τῇ παλάμῃ τύλους τῶν ἐρεσσόντων γινομένους· Ἀπολλόδωρος

262. Phav. h. v. p. 1834,46. Homeri locus est Iliad. μ, 164.

263. Phav. h. v. p. 1835,55.

ἐν Εἰρήνῃ] Alium ego locum in Pace, qui huc referri possit, non inveni quam v. 1164. τὸ γὰρ φίτυ πρῷον φέρει.

264. Similia Phav. h. v. p. 1837,42.

δὲ, τὰ ἐκ τοῦ πυρὸς ἐρυθήματα, ἢ ἐκ ψύχους, ἢ τὰ ἐκ τοῦ πυρὸς ἐπικαύματα.

265. ΦΟΡΜΟ´Σ· ὁ κόφινος· καὶ φερμίσκος, κατὰ Παυσανίαν, λεπτόν τι ἀγγεῖον. φορμὸς ἤγουν πλέγμα, σπυρὶς, ἐν ᾧ καὶ σῦκα ἔφερον. ἐκ τοῦ φέρω. ἐξ οὗ καὶ φόρτος, καὶ τὸ φορεῖον, καὶ τὸ φοραδην ἐπίῤῥημα.

266. ΦΡΕ´ΝΕΣ· οὐ μόνον ἀσωμάτως καὶ νοητῶς ἐπὶ λογισμοῦ, ἀλλὰ καὶ μέρος τι τῶν σπλάγχνων, ὃ καὶ διάφραγμα λέγεται. ἔστι δὲ ὑμὴν ἀποχωρίζων τὸ ἧπαρ ἀπὸ τοῦ σπληνὸς καὶ τοῦ πλεύμονος καὶ τῆς καρδίας. ἢ καὶ ἄλλως, κατὰ τοὺς παλαιοὺς, φρένες εἰσὶν αἱ διεζωκυῖαι τὸν ὑπὸ τῷ πνεύμονι καὶ τῇ καρδίᾳ τόπον· ὃ καλεῖται καὶ διάφραγμα. συντελεῖ δὲ εἰς τὸ φρονεῖν· ὅθεν καὶ φρενήρης, ὁ φρόνιμος. ἐν δὲ τῷ φλεγμαίνειν, παραφροσύνας ποιεῖ. μέλαινας δὲ φρένας ἔφη ὁ Ποιητὴς, διὰ τὸ ἐντὸς αὐτὰς ἐν βαθεῖ κεῖσθαι καὶ μὴ ὁρᾶσθαι. ἢ καὶ ἄλλως· μέλαινας, τὰς τοῦ θυμουμένου καὶ μὴ ἔχοντος ἡμέρως, ἀλλ᾽ οἱονεὶ σκοτεινοῦ καὶ νυκτὶ ἐοικότος. καὶ φρένες ἔμπεδοι, ἐναντίον τῷ, φρένες ἠερέθονται. γι-

265. Id. h. v. p. 1841,55.

266. Phav. h. v. p. 1843. et 1844,18.

ἀπὸ τοῦ σπληνὸς καὶ τοῦ πλεύμονος] Ita Codex, concinente fere Phavorino: unde Editor sua hauserit, μετὰ τοῦ σπληνὸς ἀπὸ τοῦ πλ., nescio.

ὁ Ποιητὴς] Iliad. ρ, 83. 499. 573.

φρένες ἔμπεδοι] Iliad. ζ, 352. Odyss. κ, 493. σ, 214. Deinde φρένες ἠερέθονται est Iliad. γ, 108.

νεται δὲ Φρὴν παρὰ τὸ προΐω, τὸ προπέμπω, συγκοπῇ πρῶ, καὶ Φρῶ. ἐξ οὗ καὶ Φρὴν, ἀφ' ἧς προΐεται τὰ βουλεύματα. σεσημείωται δὲ τὸ Φρὴν Φρενός. οὐδὲν γὰρ εἰς ῆν λῆγον ὄνομα μονοσύλλαβον μόνως ἐστὶ θηλυκὸν, ἀλλ' εἰ ἐπιδέχεται τὸ θηλυκὸν γένος, ἐν κοινότητι ἐπιδέχεται, οἷον ὁ χὴν, καὶ ἡ χήν· ὁ ῥὴν, καὶ ἡ ῥήν. σημαίνει δὲ τὸ πρόβατον. τὸ δὲ Φρὴν διήλλαξε.

267. ΦΡΗ'ΤΡΗ· ἡ γενεά. τινὲς μὲν αὐτὴν ἀπὸ τοῦ Φατρία παράγουσι, κατὰ πλεονασμὸν τοῦ ρ̄, καὶ συγκοπήν. ἄλλοι δὲ πρωτεύειν φασὶ τὴν Φρατρίαν, μετὰ τῶν δύο ρ̄ρ̄· καὶ ἀπ' αὐτῆς γίνεσθαι τὴν Φατρίαν, ἀποβολῇ τοῦ πρώτου ρ̄· λέγεσθαι δὲ ἐκ μὲν τῆς Φρατρίας τοὺς Φράτορας, ἤτοι τοὺς συγγενεῖς, καὶ συμφυλέτας· καὶ τὴν Φρήτρην, τὴν αὐτὴν οὖσαν τῇ Φατρίᾳ, ἥτις ἐστὶ τρίτον φυλῆς, λεγομένη καὶ τριττὺς, ὡς προείρηται. ἀφ' ἧς Φρήτρης, καὶ ἀφρήτωρ παρὰ τῷ Ποιητῇ, ὁ μεμονωμένος συγγενείας, καὶ μὴ ἔχων Φρήτρην. καὶ παρὰ τοῖς Ἀττικοῖς Φράτωρ· καὶ Φράτιον, τόπος ἐν ᾧ οἱ τῆς αὐτῆς Φρατρίας συνήγοντο. καὶ ταῦτα μὲν ἐκ τῆς Φρατρίας. καὶ Φρατριάζειν Ἀττικῶς, τὸ

267. Phav. h. v. p. 1844,24. A verbis λέγεσθαι δὲ ἐκ μὲν τῆς Φρατρίας edidit Villois. ad Apollon. p. 840.

Ποιητῇ] Iliad. ι, 63.

Φράτωρ] Villois. Φρήτωρ, et mox pro Φράτιον legi vult Φράτριον.

Φρατριάζειν] Hinc emenda Harpocrat. v. Φράτορες p. 178.

εἰς τὸ αὐτὸ συνιέναι. Αἴλιος Διονύσιός φησι, Φρατρία, ἣν Ἴωνες πατρίαν. καὶ ὅτι Φράτορες, οἱ τῆς αὐτῆς Φρατρίας. οἱ δὲ ἀρχαῖοι, Φράτερας διὰ τοῦ ε· οὗ φασὶν εὐθεῖαν Φράτηρ. Φέρεται καὶ ὅτι Φρατὴρ Ἀττικοί φασιν· Ἴωνες δὲ διὰ τοῦ ω μεγάλου. οἱ δ' αὐτοὶ καὶ Φρήτρην. λέγεται καὶ Φατρία. ὅθεν καὶ Φατριάζειν, τὸ εἰς Φατρίαν συνιέναι.

268. ΦΥΗ'Ν· τὴν φύσιν. ἐνίοτε μὲν ἐπὶ τῆς ψυχῆς λέγουσιν· ἐνίοτε δὲ ἐπὶ τοῦ σώματος· καὶ ἐπ' ἀμφοτέρων διττῶς. ἐπὶ μὲν γὰρ τοῦ σώματος, ἢ τὴν ἀναδρομὴν αὐτοῦ δηλοῦντες ἁπλῶς, οὐ δέμας, οὐδὲ φυήν· ἢ τὴν εὐαρμοστίαν αὐτοῦ καὶ τὸ

ed. Gron., ubi vulgatur φρατρίζειν. V. Lex. in Bekkeri *Anecd. Gr* T. 1. p. 194.

τὸ εἰς αὐτὸ] Ita e Cod. iam Villois.; contra Burn. e Phav. τὸ εἰς τὸ αὐτὸ edidit.

φρατρία] Ita e Cod. Villois.; Burn. φατρία, atque etiam mox φατρίας, ubi Cod. φρατρίας.

ἀρχαῖοι] Ita recte Burn.; Cod., Phav. et Villois. Ἀχαιοί, haud rara confusione in MS., quam exemplo nuper Th. Kiddius *Addend. ad Dawesii Misc. Crit.* p. 614. adnotavit: aliud vide ad §. 21. p. 141. Eandem patiuntur etiam voces ἀρχαϊκὸς et Ἀχαϊκὸς, monente Kochio *Prolegomenis ad Theopompum Chium* Sedini 1803. editis, p. 47.

οὗ φασὶν εὐθεῖαν] Burn. ὃ, φασὶν, εὐθεῖα, contra Cod. fidem, cuius scripturam revocavi. Phav. φησὶν, referendum ad Aelium.

268. Phav. h. v. p. 1846,62. Edidit Bastius ad Gregorium Schaeferi p. 337.

ἁπλῶς] Addit Phav. ὡς ἐν τῷ. Quae sequuntur οὐ δέμας, οὐδὲ φυὴν sunt ex Odyss. ι, 212.

κάλλος. ἐπὶ δὲ τῆς ψυχῆς, ἡ τὴν δύναμιν τῆς αἰσθήσεως καὶ κινημάτων αὐτῆς, ὡς παρὰ Πινδάρῳ ἐν τούτοις, σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· ἡ τὴν εὐφυΐαν αὐτῆς καὶ δεξιότητα. φυὴν δὲ καὶ βλάστησιν, αὔξησιν ἡλικίας, παρὰ τὸ φύω, τὸ αὔξω.

269. ΦΥΛΑΚΤΗ͂ΡΕΣ τριχῶς λέγονται· φυλακτῆρες καὶ φύλακες κοινῶς, καὶ φύλακοι ποιητικῶς, οὓς Ἀρίσταρχος λέγει, οὐ βαρυτόνως φυλάκους προφέρειν, ἀλλ᾽ ὀξυτόνως· καὶ κανόνα παράγει· τὰ εἰς κος ὑπὲρ δύο συλλαβὰς, παραληγόμενα τῷ α, ἐπιθετικὰ ὄντα, ὀξύνονται, οἷον μαλακός· φαρμακός· ἀνακὸς, ὅθεν καὶ ἀνακοῖν Διοσκούροιν. καὶ οὕτω μὲν κατὰ Ἀρίσταρχον. ἄλλως δὲ

τῆς αἰσθήσεως] Phav. τῶν αἰσθήσεων. Burn. mox τῆς κινήματος pro τῶν κινημάτων, quod Codici debetur, adstipulante Phav., nec non ita edente Bastio.

Πινδάρῳ] Olymp. 2,155.

269. Phav. h. v. p. 1857,37.

ἀνακὸς, ὅθεν καὶ ἀνακοῖν Διοσκούροιν] Magistri et ineptias et errores opera perdita esset refellere omnes, licet iisdem etiam Etymologus M. laboret p. 96,33. Ἀνακοὶ, οἱ Διόσκουροι παρὰ Ἀττικοῖς, παρὰ τὸ ἀνάσσω, ἀνακὸς, ὡς φυλάσσω φυλακὸς, μαλάσσω μαλακός. Contra enim uno omnes ore Atticis formam ἄνακες vindicant cum Grammatici, tum alii scriptores. Vide Plutarch. Thes. 33. p. 16. Numa 13. p. 69. B. τοὺς Διοσκούρους Ἄνακας Ἀθηναῖοι προσηγόρευσαν. Plura Albert. ad Hesych. v. Ἄνακας T. 1. p. 326. Pierson. ad Moerid. p. 77. sq. Valcken. *Epist. ad Roeverum* p. XL. (p. 298. ed. Berol.) Ac rectius idem Etym. p. 98,33. Caeterum cum Philemonis verbis ἀνακοῖν Διοσκούροιν metrica arae antiquae inscriptio, edita in *Catalogue d'antiquités Egyptiennes, Grecques, Ro-*

τὸ βαρυτονεῖσθαι τὴν λέξιν πιθανὸν ἐκ τοῦ Φύλαξ, Φύλακος· ἐξ οὗ ὁ Φύλακος, ἀναδραμούσης εἰς εὐθεῖαν τῆς γενικῆς.

270. ΦΥ'ΞΙΟΣ ΖΕΥ'Σ· ὁ δυνάμενος ποιῆσαι φυγεῖν τὸν κίνδυνον. λέγεται δὲ καὶ φίλιος, καὶ ἑταιρεῖος, καὶ ὁμόγνιος, καὶ ἐφέστιος, καὶ ἄλλα μυρία καλεῖται. γάμους δὲ πάλιν ποιῶν, γαμήλιος·

maines et Celtiques formant la collection de feu M. le cte de Choiseul-Gouffier, par L. J. J. Dubois à Paris 1818. 8vo p. 24. magnopere conferenda est:

ΑΓΑΘΗΙ ΤΥΧΗΙ
ΣΩΤΗΡΟΙΝΑΝΑΚΟΙΝΤΕ
ΔΙΟΣΚΟΥΡΟΙΝΟΔΕΒΩΜΟΣ.

Hoc autem marmor a Fourmontio Athenis descriptum, postea illinc impensa illustrissimi comitis Choiseul-Gouffier Parisios transportatum, quod monumentis antiquis collectionis illustr. comitis triennio abhinc publica auctione divenditis ubi terrarum hodie lateat, difficile indicatu fuerit, non male coniicias olim ad Dioscurorum sacrarium pertinuisse, quod ἀνακείου nomine Athenis celebratum esse tradunt Pausanias 1,18. Harpocrat. h. v. p. 14. ed. Gron. Lucian. Timon. 34. Lexicon in Bekkeri *Anecd. Graec.* T. 1. p. 212. Demosthen. in Stephanum p. 1125,24. Etymol. M. p. 98,30., ubi pro ἀνακαῖον lege e Lexico Bekkeri l. c. T. 1. p. 202. ἀναγκαῖον. Idem dicebatur etiam ἀνάκτορον, sive ἀνακτόριον: v. Harpocrat. l. c. Etymol. Gudian p. 51,51. Lexicon Seguer. p. 391., cuius loci Bekkerus non memor videtur fuisse, quum ex alio ibidem Lexico ederet T. 1. p. 202. Ἀνακτόριον: τὸ ἅγιον ἱερὸν τῶν ἀνακτόρων, quae ab homine erudito relinqui, vel committi posse vix credideris. Denique, ut redeam, memoratu dignum videtur, apud Hesychium glossam reperiri: Ἀνάκοιν· τοῖν Διοσκόροιν.

270. Phav. h. v. p. 2858,4. qui μετονομαζόμενος.

καὶ ἁπλῶς πρὸς τὰ συμβαίνοντα καὶ γενόμενα ὀνομαζόμενος. Φεύγων γάρ τις Φύξιον Δία ἐπικαλεῖται· συμβουλευσάμενος δὲ, βουλαῖον· καὶ τὰ ἄλλα ὁμοίως.

271. ΦΥ͂ΣΑΙ· τὰ Φυσῶντα ὄργανα τῶν χαλκέων τινὲς διὰ δύο σσ γράφουσιν, εὐλόγως δὲ δι' ἑνὸς σ. ἀπὸ γὰρ τοῦ Φῦ μόνου διγραμμάτου ἐπιῤῥήματος ὠνοματοπεποιημένου ἡ λέξις παρῆκται. διὸ οὐκ ἀναγκὴ διπλασιάζεσθαι τὸ σ. ἐκτείνει δὲ τὴν ἄρχουσαν. ἰστέον δὲ ὅτι ἡ χαλκευτικὴ Φῦσα τραπεῖσα μεταφορικῶς τὴν ἀλαζονείαν αὐτὴν ὁμωνυμεῖσθαι πεποίηκε, διὰ τὴν ἀνεμωλίον κενοῤῥημοσύνην τῶν ἀλαζόνων, ὧν οἱ λόγοι Φυσήμασιν ἐοίκασι. διὸ Δημάδει τῷ ῥήτορι παῖς ἐξ αὐλητρίδος Δημέας, καὶ Φρυαττόμενος ἐπὶ βήματος, ἐκ τοιαύτης ἐσκώφθη λέξεως. ἐπεστόμισε γὰρ αὐτὸν Ὑπερίδης, εἰπὼν, οὐ σιωπήσῃ μεῖζον τῆς μητρὸς ἔχων τὸ Φύσημα. καὶ ἔσχισται τὸ σκῶμμα διχῇ, δηλοῦν ὅτι τε ἀγενής ἐστιν ἐξ αὐλητρίδος Φὺς, καὶ ὅτι μέγα Φυσᾷ. ἐκ δὲ τῆς Φύσης καὶ ὁ Φύσων· ἐπεὶ Φυσώμενος πλησιστίῳ ἀνέμῳ, ἐνεργεῖ. ἔτι δὲ καὶ ἡ παρὰ τῷ Κωμικῷ Φύσκη. ἐξ αὐτῆς δὲ καί

271. Id. h. v. p. 1849,16. Edidit Villois. ad Apollon. p. 844., statim ab init ΦΥ͂ΣΑΣ exhibens.

Ὑπερίδης] in oratione, suspicor, κατὰ Δημάδου scripta, de qua cf. Fabric. *Bibl. Gr.* T. 2. p. 859. Harl.

τῷ Κωμικῷ] Equit. 165. Dein de nomine λοπαδοφυσητής,

τις ὀψοφάγος, λοπαδοφυσητὴς ἐσκώφθη. φύσης δὲ παρώνυμον, καὶ οἱ φύσαλοι, τὰ κήτη.

272. ΦΥ'ΣΙΣ λέγεται ἡ ἰδιότης ἑκάστου πράγματος, ὡς τοῦ πυρὸς, τὸ καίειν· τῆς χιόνος, ψύχειν· καὶ τῆς γῆς, τὸ φύειν τὰς βοτάνας. διαφέρει δὲ τῆς οὐσίας. οὐσία μὲν γάρ ἐστιν ἡ ἑκάστου ὕπαρξις· φύσις δὲ, ἡ ἐνοῦσά τινι δύναμις, οἷον, ὡς εἴρηται, φύσις τῆς γῆς τὸ βλαστάνειν· τοῦ πυρὸς, τὸ θερμαίνειν, ἀφ' ἧς καὶ εὐφυὴς, ὁ εὖ ἔχων τῆς φύσεως, καὶ ἀφυὴς ὁ τούτῳ ἐναντίως ἔχων. καὶ εὐφυΐα, καὶ ἀφυΐα. ἰστέον δὲ ὡς οὐ μόνον ἐπὶ ἀνθρώπου ταῦτα λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν φυτῶν, καὶ ἐπὶ γῆς· καὶ γὰρ εὐφυὲς καὶ ἀφυὲς, φυτὸν λέγομεν.

273. ΦΩΝΗ'· παρὰ τὸ φῶς καὶ τὸ νοῦν, ἡ τὰ ἐν τῷ νῷ φωτίζουσα· ἢ τὸ τοῦ νοὸς φῶς, παρὰ τὸ φάος εἶναι τοῦ νόου. διὰ γὰρ τοῦ φθέγματος τῆς φωνῆς τὰ τῆς ψυχῆς ἐνθυμήματα γινώσκομεν· φαονή τις οὖσα, καὶ φωνή.

274. ΦΩ'Σ· ἀρσενικῶς, ὁ ἄνθρωπος, παρὰ τὸ φῶ,

quo Dorio quidam tibicen idemque heluo perstringebatur cf. Athen. 8. p. 338.

272. Phav. h. v. p. 1849,42., mox pro ἀφ' ἧς exhibens ἀφ' οὗ, uti etiam simili contextu Thomas M. v. φύσις p. 904. Bern.

273. Phav. h. v. p. 1851,8.

274. Id. h. v. p. 1852,52., unde iubente ipso Codice mox ante λέγω adieci τό.

φῶ, τὸ λέγω· μόνος γὰρ ἄνθρωπος λεκτικὸν ζῷον, ἢ ὁ μόνος τὰ τῆς διανοίας φωτίζων τῷ λόγῳ. φῶς δὲ οὐδετέρως, τὸ φωτίζον καὶ λάμπρον· ὃ κατὰ πλεονασμὸν τοῦ ō λέγεται φόως. γίνεται παρὰ τὸ φῶ, τὸ φαίνω, καὶ λάμπω, φάος· καὶ καθ' ὑπέρθεσιν, φόας, καὶ κατὰ συναίρεσιν, φῶς· καὶ κλίνεται διὰ τοῦ τōς· ἐπεὶ καὶ τὸ φόας φόατος κλίνεται. τὰ γὰρ συνῃρημένα τῶν ἐντελῶν φυλάσσει τὴν κλίσιν. οἱ δὲ λέγοντες, ἀπὸ τοῦ φάος γέγονε κατὰ κρᾶσιν, οὐκ ἀκριβῶς λέγουσι. τὸ γὰρ φάος εἰς οὖς ἔχει τὴν γενικήν. φῷς, φῳδὸς, ἔχει τὸ ῑ, καὶ ὀξύνεται, ὡς δᾳς, δᾳδός. εἴρηται παρὰ τὸ φῶς, ὅπερ ταὐτόν ἐστι τῷ πυρί· καὶ σημαίνει τὰ ἐν τοῖς σκέλεσι γινόμενα ἐκκαύματα ἀπὸ τοῦ πυρός. ἔχει δὲ τὸ ῑ, ἐπειδὴ λέγεται καὶ φωΐδες.

X.

275. ΧΑΙ῀ΤΑ οὐ μόνον ἐπὶ ἀνθρώπου κυριολεκτεῖται, ὡς ἐν τῷ, κυανοχαίτης Ποσειδῶν, ἀλλὰ καὶ ἐπὶ λέοντος λέγεται. ὅθεν καὶ χαιτήεις καὶ χαιτήεσσα· καὶ ἐπὶ ἵππου. ἐπ' αὐτοῦ δὲ καὶ ἡ θρίξ λέγεται, ὡς δηλοῖ τὸ, ἵπποι καλλίτριχες. γι-

λεκτικὸν] Praestat Phavorini λογικόν.

275. Phav. h. v. p. 1833,32. Edidit Villois. ad Apollon. p. 846. sq.

κυανοχαίτης Ποσειδῶν] Iliad. ν, 563. ξ, 390.

ἐπ' αὐτοῦ] Villois. cum Phav. ἀπ' αὐτοῦ.

νεται δὲ χαίτη παρὰ τὸ χῶ, καὶ τὸ ἀΐσσω. χεῖται γὰρ ἀΐσσουσα ὧδε κἀκεῖ, καὶ μάλιστα τοῖς δρομοχαίταις, κατὰ τὸ, ἀμφὶ δὲ χαῖται ὤμοις ἀΐσσονται. ἢ παρὰ τὸ κρατῶ, κράτη· καὶ ἀποβολῇ τοῦ ρ̄, καὶ πλεονασμῷ τοῦ ῑ, καὶ τροπῇ τοῦ κ̄ εἰς χ̄, χαίτη. καὶ χαιτήεις, ὁ χαίτην ἔχων, ἀπὸ τῆς χαίτης, ὥσπερ ἀπὸ τοῦ ἕρση, ἑρσήεις· καὶ τιμὴ, τιμήεις. καὶ χαῖται ἁπλῶς, αἱ τρίχες.

276. ΧΑ'ΛΙΞ· ὁ οἶνος λέγεται, ὁ χαλῶν καὶ ἀνιεὶς ἡμᾶς. καὶ ἀκροχάλιξ οἴνῳ, ὁ μεθύων. Ἐπίχαρμος δέ φησι τὸ χαλικάζειν ἀντὶ τοῦ ὑφ' ἡδονῆς ἀνίεσθαι περὶ συνουσίαν, καὶ ὑποστένειν. καὶ

ἵπποι καλλίτριχες] Iliad. κ, 491.

δρομοχαίταις] Villois. δρομοχίταις, addens: „Scribe δρομιχαίταις, quae vox apud Eustathium legitur.“ Phav. δρομοχίταις. Homeri locus, qui statim sequitur, est Iliad. ζ, 510.

276. Phav. h. v. p. 1854,11. Edidit Villois. l. c. p. 849. Magnopere conferenda sunt quae E. G. Barkerus Annotat. ad Etymol M. p. 1128. seq. diligenter congessit.

περὶ συνουσίαν] Villois. περὶ συνεσίας: illud Phav. quoque. Dein pro edito ὑποστέλλειν, quod mihi quidem sensu carere omnino videbatur, auctore Barkero l. c. p. 1130. ὑποστένειν scripsi, quod simillimo contextu Eustathius p. 1936. habet. De v. ὑποστένειν nihil statim succurrit: contra apposite derivatum ὑποστενάζω, in Eumath. de amor. Ismen. 5. p. 212. ἡ δ' ὑπεστέναξε λεπτὸν ἀφροδίσιον, καὶ τὸ λεπτὸν ἐρωτικὸν ἀποστέναγμα ὅλην ἡδονὴν ἐς αὐτήν μοι μέσην ἐστάλαξε τὴν ψυχήν. Apertum est e cod. Paris. Reg. 2895, quem inter Parisienses optimum iudico, ὑποστέναγμα esse suscipiendum. Concidit igitur vox ἀποστέναγμα, hoc e loco a Schmidtio *Tau-*

χάλιξ, ὁ ἄκρατος οἶνος, ὅθεν καὶ χαλίφρων, ὁ ἐν μέθῃ ἀφραίνων. καὶ τὰς Βάκχας χαλιμάδας ἔλεγον, τὰς χαλωμένας πρὸς συνουσίαν.

277. ΧΑ'ΛΚΕΟΝ "ΥΠΝΟΝ· τὸν ἐκ σιδήρου, ἢ τὸν στεῤῥὸν, διὰ τὸ ἄνετον· ἢ τὸν οὐ μαλακὸν, ἀλλὰ σκληρόν.

278. ΧΑΛΚΟ'ΠΟΔΕΣ ἵπποι λέγονται, οὐ μόνον οἱ στεῤῥόποδες, ἀλλὰ καὶ οἱ ἠχόποδες. λέγει δέ που Ὅμηρος, καὶ ἐριγδούπους πόδας ἵππων, καὶ ὑψηχέας ἵππους, ὧν ὑψοῦ ὁ ἦχος ἥκει τῶν ποδῶν. ὅτι δὲ ἠχητικὸς ὁ χαλκὸς, ἐξ οὗ καὶ οἱ ἵπποι, ὡς ἐῤῥέθη, χαλκόποδες οἱ ἠχόποδες, δηλοῖ μὲν καὶ τὸ οἴνοπα λέγεσθαι χαλκὸν, ὅ ἐστιν ἔμφωνον, καὶ χαλκόφωνος κύων, ὁ παρεοικὼς τὸν ἦχον χαλκῷ.

send Griechische Wörter h. v. p. 14. enotata. Atque ὑποστέναζε recte habere, plura eiusdem auctoris loca abunde docent, e quibus cito 4. p. 116. Ὑποστενάζω de quavis leniori lamentatione praecipue usurpatur: ita Sophocles Aiac. 315.

277. Phav. h. v. p. 1854,40. Philemonem respicere Iliad. λ, 241. adnotavit R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 199.

278. Phav. h. v. p. 1855,59. Edidit Villois. ad Apollon. p. 848.

καὶ ἐριγδούπους πόδας ἵππων] Iliad. λ, 152. Dein ὑψηχέας ἵππους est, ψ, 27.

ἐῤῥέθη] Villois. ἐῤῥήθη, et mox e Cod. ut edidi, χαλκόφωνος: Burn., ut Phav., χαλκεόφωνος.

279. ΧΑΜΕΥ͂ΝΑΙ καὶ ΧΑΜΕΥΝΑ'ΔΕΣ· παρὰ τοῖς παλαιοῖς ψίαθοι καὶ στιβάδες. εἰσὶ δὲ οἵ φασι καὶ ὅτι χαμεῦνα, ἡ ταπεινὴ κλίνη, καὶ στιβάς· καὶ χαμευνάδες, οἱ χαμαὶ κοιμώμενοι.

280. ΧΑ'ΡΑΞ· θηλυκῶς, ξύλον ἐν ᾧ τὰς ἀμπέλους δεσμοῦσιν, ὥστε ἵστασθαι καὶ μὴ πίπτειν εἰς τὴν γῆν. ἀρσενικῶς δὲ λέγεται ἐπὶ τῶν πρὸς πολιορκίαν χαράκων.

281. ΧΑ'ΡΙΣ· ἡ δωρεὰ, καὶ ἡ ἀντίχαρις, ὡς παρὰ Σοφοκλεῖ, ἐν Αἴαντι Μαστιγοφόρῳ. καὶ ἡ ἡδονὴ, ὡς ὅταν λέγωμεν τὴν τῶν λόγων χάριν. Χάρις καὶ ὄνομα θεᾶς· οὗ τινὸς ἡ αἰτιατικὴ οὐκ ἐκφέρεται δισυλλάβως, ὡς ἐπ' ἐκείνων, ἀλλὰ τρισυλλάβως. οὐ γὰρ χάριν λέγομεν, ἀλλὰ Χάριτα. χάρις δέ ἐστι πράγματος ὠφελίμου δόσις· ἢ δάνειον ἀναπόδοτον· ἢ εὐεργεσία ἑκούσιος.

282. ΧΑΡΟΠΟ'Ν· τὸ περιχαρὲς, εὐόφθαλμον, καὶ τὸ χαρὰν ἔχον. χαρίεν δὲ, τὸ ἔχον χάριν· ὃ καὶ ἐπίχαρι λέγεται, ὡς τὸ σφαλερὸν, τὸ ἐπισφαλές· καὶ τὸ ὀδυνηρὸν, ἐπώδυνον· καὶ τὸ βλαβερὸν, τὸ ἐπιβλαβές. φθονερὸν δὲ, καὶ ἐπίφθονον, οὐ ταὐτόν. λέγεται γὰρ τὸ φθονερὸν ἐπὶ τῶν χρωμένων τῷ φθόνῳ· τὸ δὲ ἐπίφθονον, ἐπὶ τῶν φθο-

279. Phav. h. v. p. 1856,40. Edidit Villois. l. c. p. 830.

280. Similia Phav. h. v. p. 1857,27.

281. Similia id. h. v. p. 1858,34. Locus ex Aiace est v. 518.

282. Similia Phav. h. v. p. 1859,36.

νουμένων. καὶ φοβερὸν, τὸ φόβον ἐμποιοῦν· ἐπίφοβον δὲ, τὸ φοβούμενον· καὶ χαροποὶ λέοντες, οἱ τοιούτους ἔχοντες τοὺς ὀφθαλμούς. δηλωτικὸν δὲ χρώματος ὀφθαλμῶν τὸ χαροπόν. καὶ ἐπὶ παρδάλεων ὁμοίως. ἀπὸ δὲ τῆς τοιαύτης χαροπότητος, καὶ χάρων ὁ λέων. λέγεται δὲ ἴσως κατὰ ἀντίφρασιν· μᾶλλον δὲ φοβερὸς ὁ λέων, καὶ οὐ χαρὰν ποιῶν. ἤδη δὲ καὶ κατὰ τὸ θανατοποιόν· ἐπεὶ καὶ ὁ Χάρων ἐν Ἅδου διακονεῖ.

283. ΧΕΙΑ'· ἡ κατάδυσις τῶν ὄφεων. καιρία δὲ ἡ λέξις ἐν ποιήσει, ἀπὸ τοῦ χῶ, χείω, τὸ χωρῶ· ὡς τὸ, οὐδὸς ἀμφοτέρους ὅδε χείσεται, ἤγουν χωρήσει. λέγονται δὲ αἱ τοιαῦται χειαὶ καὶ εἰλυοὶ καὶ τρόχμαλα καὶ αἱμασιαί. ἀπὸ δὲ τοῦ χεῖσθαι, τοῦ σημαίνοντος τὸ χωρεῖν, γίνεται καὶ τὸ χείτιον, τὸ χωροῦν ἀστραγάλους· ὃ καὶ κείθιον Ἰωνικῶς λέγεται. καὶ ἄλλως. χειὰ λέγεται ἐπὶ δράκοντος·

283. Nonnulla Phav. h. v. p. 1860,30. Cf. Etym. M. p. 809,50. Orion. Etym. p. 164,34. Etym. Gudian. p. 563,45. Valcken. ad Adoniaz. p. 254. sq. (p. 76. ed. Berol.) Boissonad. ad Herodian. Epim. p. 150. sq. Edidit Villois. ad Apollon. p. 852.

οὐδὸς ἀμφοτέρους ὅδε χείσεται] Odyss. σ, 17., unde Villois. δ' post οὐδὸς addidit. Idem pro ἤγουν, quod statim sequitur, legit οἷον, a Bredovio *Epistol. Paris.* p. 56. satis notatus.

τρόχμαλα] Codicis et editionis Angl. scripturam τροχμαιοὶ iubentibus Villoisono et Bastio ad Gregorium Schaeferi p. 512. mutavimus.

χειὰ λέγεται ἐπὶ δράκοντος] Ita Philostrat. Imag. 2,17. p. 837. Olear. καὶ ὁ δράκων δὲ, ὁ τῆς Ἀθηνᾶς, ὁ ἔτι καὶ νῦν ἐν

φωλεὰ, ἐπι θηρίων· ὀπὴ, ἐπὶ πολλῶν, καὶ ἐπὶ μυρμήκων καὶ μυῶν· νεοττιὰ, ἐπὶ μικρῶν ὀρνίθων· εἰλεὸς, ἐπὶ ὄφεων· καὶ ἱππῶνες, ἐπὶ ἵππων.

284. ΧΕΙΜΑΡΡΟΣ· ποταμὸς τοῦ χειμῶνος ῥεών. γενικὸν μέντοι ὁ ποταμὸς, εἰδικὸν δὲ ὁ χειμάῤῥους. χίμαρος δὲ ὁ τράγος, καὶ χίμαιρα ἐπὶ θηλυκοῦ. καὶ χείμαρος λέγεται πάσσαλος ὁ ὑπὸ τὴν τρόπιν. οὗ ἐξαιρουμένου, τὸ ὕδωρ παραχωρεῖ· καλεῖται δὲ καὶ εὐδιαῖος. Ἡσίοδος· χείμαρον ἐξερύσας, ἀντὶ τοῦ ἐκβαλών.

285. ΧΕΡΑΔΕΣ· τὰ παραθαλάσσια σκύβαλα, παρὰ τὸ χεῖσθαι ῥᾳδίως. χεράδες λέγονται καὶ οἱ σωροὶ τῶν λίθων τῶν μικρῶν, τῶν καθ' ἕνα χειρὶ ληφθῆναι δυναμένων. χέραδος δὲ, οὐδετέρως, κατά τινας ἀκαθαρσία πᾶσα συῤῥέουσα ἐξ ὕδατος, ὀνομασθεῖσα μιμητικῶς ἀπὸ τοῦ γενομένου ἤχου ἐν τῷ κατασύρεσθαι· ἔστι δὲ οὐδετέρου γένους, ὡς

ἀκροπόλει οἰκῶν, δοκεῖ μοι τὸν Ἀθηναίων ἀσπάσασθαι δῆμον ἐπὶ τῷ χρυσῷ, ὃν [f. οὗ, vel ὅτι] ἐκεῖνοι τέττιγας ἐπὶ τὰς κεφαλὰς ἐποιοῦντο. ἐνταῦθα δὲ καὶ χρυσοῦς αὐτὸς ὁ δράκων· τὴν γὰρ κεφαλὴν τῆς χειᾶς ὑπερβάλλει δεδιὼς, οἶμαι, ὑπὲρ τοῦ κάτω πλούτου: ubi e codd. Paris. Reg. 1760. 1761. 3019. nota ἐπὶ ταῖς κεφαλαῖς rescribendum esse.

284. Similia Phav. h. v. p. 1860,56.

Ἡσίοδος] Op. et D. 626. Cod. et Phav. ἐξερύσκων: ille etiam mox ἐκβάλλων.

285 Phav. h. h. p. 1863,66. Edidit Villois. ad Apollon. p. 853 De v. cf. Blomfield. *Glossar. in Aeschyli Septem contr. Theb.* p. 133. ed. sec.

τὸ κίναδος. ἅπαξ ῥηθὲν ὑπὸ τοῦ Ὁμήρου· ἕτεροι δὲ χέραδος εἶπον, τὸ πλῆθος τῶν θαλασσίων ἢ παραποταμίων ψήφων. ἄλλοι, τὴν μετ᾽ ὀστράκων καὶ λίθων ἰλὺν, ἢ τῶν εἰς χερμάδας ἐπιτηδείων λίθων. τοῦτο δὲ ἀλλαχοῦ ἄσιν καλεῖ, ὅ ἐστι ῥύπον ἐν ὕδατι ξηρὸν, ἢ συντομώτερον κατὰ τοὺς παλαίους, τὸ ἐξ ὕδατος. τινὲς δέ φασιν ὅτι συνωνυμοῦσιν ἰλὺς, καὶ ἄσις, καὶ χέραδος. Πίνδαρος δὲ εἰπὼν, χεράδι παμφόρῳ, δίδωσι νοεῖν, ὅτι ἔστι καὶ ἡ χερὰς, τῆς χεράδος· εἰ μὴ ἄρα φιλονεικῶν τις καὶ ἐκεῖνο οὐδετέρης κλίνει χεράδει, διὰ διφθόγγου, ὡς τὸ κινάδει, καθ᾽ ὁμοιότητα τοῦ τείχεϊ, τείχει.

286. ΧΕ'ΡΝΙΒΑ· τὰ εἰς χειρὸς νίμματα χεό-

Ὁμήρου] Iliad. φ, 319. ibiq. Schol. Ven. Mox Pindari locus est Pyth. 6,10., ubi est παμφόρῳ χεράδι. De forma χεράδει Philemoni memorata cf. Schneideri *Fragm. Pindari* CXLIV. p. 101.

286. Phav. h. v. p. 1863,33. Edidit Villois. ad Apollon. p. 852. sq. unde Heynius nonnulla delibavit *Observ. in Iliad.* ω, 304. T. 8. p. 558. Quam §. ab initio Burneius nescio qua auctoritate nisus, posthabita Codicis fide ita dispositam edidit: ΧΕ'ΡΝΙΒΑ. τὰ εἰς χειρὸς νίμματα χεόμενα. οἷς πολλάκις καί τι προσεδίδοτο καθαρτικὸν χειρῶν· ὡς τὸ, δότω τις δεῦρο ὕδωρ καὶ σμῆμα. τὸ δὲ μετὰ τὴν κάθαρσιν καταπεσὸν ὑγρὸν, ἀπόνιπτρον ἐκαλεῖτο, ἤγουν ἀπόνιμμα. ὃ μὲν ἡμεῖς ἐν τῇ συνηθείᾳ χέρνιβον φαμὲν, Ἀττικοὶ χερνίβιον φασίν. Ὅμηρος μὲν etc. Codicis nos scripturam Phavorino repetitam, quamvis non admodum concinnam cum Villoisono revocandam esse duximus.

μενα· ὃ μὲν ἡμεῖς ἐν τῇ συνηθείᾳ χέρνιβα φαμὲν, Ἀττικοὶ χερνίβιόν φασιν, ὡς τὸ, δότω τις δεῦρο ὕδωρ καὶ σμῆμα, ἀπὸ τοῦ σμῶ, σμήσω, οὗ παράγωγον σμήχω, γίνεται σμῆμα· οἷς πολλάκις καὶ προςεδίδοτο καθαρτικὸν χειρῶν. τὸ δὲ μετὰ τὴν κάθαρσιν καταπεσὸν ὑγρὸν, ἀπόνιπτρον ἐκαλεῖτο, ἤγουν ἀπόνιμμα. Ὅμηρος μὲν χέρνιβον ἀσυνήθως ἅπαξ εἶπεν, ἡμῖν δὲ συνήθως, τὸ χέρνιπτρον, ὡς παρασημειοῦνται καὶ οἱ παλαιοὶ, τουτέστι, τὸ τοῦ ὑγροῦ ὑποδεκτικὸν ἀγγεῖον, ὃν λέβητα καλεῖν αὐτὸς εἴωθεν, ἄλλως μέντοι χέρνιβα λέγειν ἔθος αὐ-

Ἀττικοὶ χερνίβιόν φασιν] V. Gramm. ap. Hermann. de em. Gr. Grat. p. 321. Voce usus est Aristophanes in Heroum fragmento, quod servavit Athen. p. 409. C. Igitur praesidii nonnihil lucratur hoc vocabulum a Schneidero in Lex. Gr. v. χέρνιβον cum suspicione prolatum.

Ὅμηρος μὲν χέρνιβον] Iliad. ω, 304. Cf. Wolf. ad Leptineam p. 376.

ἡμῖν δὲ συνήθως, τὸ χέρνιπτρον, ὡς παρασημειοῦνται καὶ οἱ παλαιοί] Lexicon ined. SGM. cod. Paris. Reg 345. fol. 147. recto: Χειρόνιπτρα· τὸ κατὰ χειρὸς ὕδωρ· κἄν τις τύχῃ πρῶτος βαλὼν, εἴληφε χειρόνιπτρα. Ἀριστοφάνης. Aristophanis autem versus hic non est, sed Eupolidis e Demis petitus, quem cum duobus sequentibus insigni lectionis varietate Athenaeus 9. p. 408. D. ita affert, ut δραμὼν pro βαλὼν et mox χειρόνιπτρον praebeat, de quibus ego, ut in re incerta nihil deciderim. Quid autem hoc lexici loco Aristophanis nomen sibi velit, non intelligo, quum vox in editis eius fabulis hodie certe non exstet: quamquam huic argumento non multum tribuerim. Alterius Comici nomen videtur alterum expulisse, quod etiam alibi factum observavimus.

τῷ, τὸ κατὰ χειρῶν διδόμενον ὕδωρ. πρόχοος δὲ, ὁ τὸ τοιοῦτον ὕδωρ χέων λέβης. ἡ γενικὴ πληθυντικὴ χερνίβων· ὡς τὸ, χερνίβων καὶ κανῶν ἁψόμενον. εἴη ἂν ἀπὸ τῆς ὀρθῆς τῆς χέρνιψ γενικὴ πληθυντικὴ χερνίβων. τῆς γὰρ χέρνιβος μέμνηνται οἱ κωμικοὶ, καὶ παραλαμβανομένης εἰς τὰς θυσίας. ὁ γοῦν Ἀριστοφάνης ἐν Ὄρνισί φησι·

παῖ, παῖ, τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα.

χερνίψουσι δὲ παρὰ Λυκόφρονι, ἀντὶ τοῦ σφαγιάσουσι, θύσουσιν. ἀπὸ μεταφορᾶς τῶν χερνίβων, οἷς

χερνίβων καὶ κανῶν ἁψόμενον] Sunt verba Demosthenis in Androtionem, [p. 618,7.] adnotante Harpocratione v. χερνίβων p. 180. ed. Gron. Eodem Genitivo idem utitur in Midiam 137.; plurali Sophocles quoque in Oed T. 240. ubi v. Schol. Inde in Aeliani verbis V. H. 10, cap. ult. εἰ χὰν ἐθέλοις θῦσαι οἶν, ἰδοῦ σοι τῷ βωμῷ παρέστηκεν οἶς, καὶ δὴ χέρνιβος Piersonus ad Moer. p. 414. pro inaudita forma χέρνιβος non male χέρνιβες coniecisse videbitur.

τῆς γὰρ χέρνιβος μέμνηνται οἱ κωμικοὶ] Ne multa, unum ex Aristophane laudo locum Lysistr. 1130. ubi v. Invernizz. Erant etiam veterum, qui χερνὶψ scribi vellent: qui tamen vocis tonus minus receptus fuisse videtur: cf. Hermann. ad Eurip. Herc. F. 924. Arcad. de accent. p. 94,19. De ipso huius aquiminalis apud veteres usu cf. Thucyd. 4,97. Gramm. in Bekker. *Anecd. Graec.* T. 1. p. 316. Musgrav. ad Sophocl. l. c. Casaub. ad Theophrast. Char. 16. p. 125 sq. ed. Needham., ibiq. Duport. p. 454. Middletoni *Miscellaneous Works* T. 5. p. 96.

κωμικοὶ, καὶ παραλαμβομένης] Copulae, ni fallor, origo syllabae praecedenti debetur.

ἐν Ὄρνισί φησι] V. 851.

Λυκόφρονι] V. 184. ubi v. Tzetzam.

καθαίρομεν τὰς χεῖρας, τὴν θυσίαν χέρνιβα εἶπεν ὡς ἐκκαθαίρουσαν.

287. ΧΗ΄Ν· κοινόν ἐστι τῷ γένει· ἔστι δὲ καὶ εἰδικόν. γίνεται παρὰ τὸ ἠχὴ, ὃ σημαίνει τὴν βοὴν, ἠχὴν, ἀφαιρέσει τοῦ η̄· κρακτικὸν γάρ ἐστι καὶ φωνητικόν. ἐξ οὗ χηνίσκος, μέρος τὶ τῆς νεὼς ἐν τῇ πρώρᾳ, οὗ ἀπήρτηνται αἱ ἄγκυραι, ὃ καὶ τῆς τρόπιδός ἐστιν ἀρχή. εἰσὶ δ' οἱ μᾶλλον τὸ τῆς πρύμνης ἔφασαν ἄκρον, πρὸς ὃ ἐπιζεύγνυνται αἱ ἐπωτίδες τῆς νεώς. πλὴν ὁποτέρως ἔχει, χηνίσκος ἐλέγετο, ὅτι χηνὸς κεφαλὴν μορφοῦντες οἱ ναυπηγοὶ, ἐτίθουν τῷ ἄκρῳ, τάχα τὸ πλοῖον εἰς χῆνα ἀπεικάζοντες, τοῦ εὐοιωνίστου χάριν, ὡς ἀβάπτιστος αὐτοῖς ἡ ναῦς διατελοίη τρόπον χηνὸς ὑπερνέουσα τῶν κυμάτων.

288. ΧΗΡΑΜΟ΄Σ· κατάδυσις, ἡ κοίλη πέτρα· καθὰ ὁ Ποιητὴς ἐξηγεῖται, κοίλην πέτραν εἰπὼν τὸν χηραμόν.

287. Phav. h. v. p. 1864,37. Cf. *Zonar. Lex.* T. 2. p. 1851. Etym. Gudian. p. 563,38.

ἀφαιρέσει] Contra Cod. et Phav. fidem Burn. καὶ praefigit. Vocem mox obviam εὐώνιστος Schneiderus *Lex. Graec.* addubitaverat.

288. Phav. h. v. p. 1864,60. Edidit Villois. ad Apollon. p. 855. V. ad §. 283. Mire hanc vocem interpretatur Etymologus Gudian. p. 563,45. ἀλλὰ καὶ χηραμὸς ἡ κατάδυσις τῶν Ρωμαίων, ὁ φωλεὸς τῶν μυρμήκων, sine dubio vitiosus: scriptum fuisse concedes τῶν ἐρήμων, praesertim collato p. 564,53.

Ποιητὴς] Iliad. φ, 494.

289. ΧΙΛΟ'Σ· θηλυκῶς λέγεται ἡ τροφὴ, παρὰ τὸ ἔχειν τὸ σῶμα, τουτέστι κρατεῖν· ἢ παρὰ τὸ χεῖλος. χεῖλος δὲ, ὁ χόρτος τῶν βοσκημάτων, παρὰ τὸ χεῖσθαι τῷ ἕλει. καὶ χιλωτὴρ, τὸ τοῖς ὑποζυγίοις ἀπὸ κορυφῆς ἐξαρτώμενον, ἐν ᾧ ἡ τροφή.

290. ΧΛΩΡΟ'Σ· ὁ ὠχρός. γίνεται παρὰ τὸ χαλῶ καὶ τὸ ὤρα, ὃ σημαίνει τὴν μορφήν· χαλάωρος, καὶ χλωρὸς, ὁ κεχαλασμένην ἔχων τὴν ὤραν. παράγεσθαι δέ τινές φασι τὸν ὠχρὸν ἐκ τοῦ χλωροῦ, μεταθέσει τοῦ ῶ, καὶ ἀπελεύσει τοῦ λ. ἀποτέλεσμα δὲ τοιαύτης ἐν πολέμῳ χλωρότητος φυγή. διὸ ἐπάγει ὁ Ποιήτης, πεφοβημένοι, ἐν τῷ ό τῆς Ἰλιάδος, ἤγουν φεύγοντες. ἰστέον δὲ ὅτι οὐ μόνον ἐπὶ ὠχρότητος ἡ χλωρότης μεταφορικῶς τίθεται διὰ τὸ χρῶμα, ἀλλὰ καὶ τὸ πρόσφατον ἔστιν ὅτε καὶ τὸ νεάζον δηλοῖ, διὰ τὸ ἐν τῇ χλόῃ νεοθαλές. οὕτω γὰρ καὶ χλωρὸν τυρὸν λέγομεν τὸν νεοπαγῆ. ὥσπερ αὖ πάλιν τὸν μὴ τοιοῦτον, ξηρόν. λέγεται δὲ καὶ γόνυ χλωρὸν, τὸ νεαρὸν καὶ διὰ

289. Phav. h. v. p. 1865,55.

290. Id. h. v. p. 1868,1. Edidit Villois. ad Apollon. p. 857.

ἐν τῷ ό τῆς Ἰλιάδος] Versu 4.

καὶ τὸ πρόσφατον] Omittunt Phav. et Villois., apud quem etiam mox καὶ ἀλίβαντες desunt. Illis similia Schol. Eurip. Hec. 124.

χλωρὸν τυρὸν] Aristoph. Ran. 566.

τοῦτο σθεναρὸν καὶ οὐχ οἷον ἔχουσιν οἱ ξηροὶ καὶ ἀλίβαντες. καὶ λόγοι χλωροὶ, ἀντὶ τοῦ ἀκμαῖοι, νέοι· ἀπὸ μεταφορᾶς τῶν καλάμων, οἳ ὄντες μὲν χλωροὶ, ἁπαλοί εἰσι· ξηραινομένοι δὲ, ξηροὶ καὶ σκληροὶ γίνονται.

291. ΧΟΕΥ'Σ· ἐκ τοῦ χέειν, ποτηρίου εἶδος, οὗ ἡ κλίσις χοέως, χοῶς, ὡς Πειραιῶς, Ἐρετριῶς. καὶ χοῦς, ἐκ τοῦ αὐτοῦ ῥήματος, ὁ αὐτὸς χοεύς. καὶ οὐ μόνον ἀρσενικῶς, ἀλλὰ καὶ θηλυκῶς· οἷον, ζωμόν τε φέρει ἐν χοῒ χρυσῇ. αὕτη δὲ καὶ πρόχους κατὰ σύνθεσιν λέγεται, οἷον, φιάλην τε λεπαστὴν χιόνος τε πρόχουν. τοῦ χοέως ἡ αἰτιατικὴ χοᾶ, ὡς Πειραιᾶ.

291. Phav. h. v. p. 1868,35. Cf. Pierson. ad Moer. p. 412.

ὁ αὐτὸς χοεύς] Ita Burn. pro Cod. scriptura ὁ αὐτοχοεύς e coniectura minus probabili. Phav. ὁ αὐτὸ χοεύς; num scriptum fuit τὸ αὐτὸ ὁ χοεύς?

φιάλην τε λεπαστὴν χιόνος τε πρόχουν] Sunt verba Anaxandridis, id ipsum Schweighaeusero *Animadv. ad Athen.* T. 8. p. 420. monente, plenius servata apud Athen. 2. p. 131. C.

χρυσοῦν τε σάκος, φιάλην τε λεπαστὴν
χιόνος τε πρόχουν, κέγχρων τε χύτρουν,

cuius loci quamvis non uno nomine mendosi scripturae vulgatae λεπαστὴν defendendae Philemonis testimonium nonnihil opitulatur, quod contra Athenaei editorem moneo, inauditam vocis formam λεπατὴν reponi hic iubentem. Neque cum Anaxandridis fragmento inepte contuleris incerti poetae, quem suspicor Livium Andronicum, versum Saturnium a nobis prolatum in *Analectis Criticis* p. 6., huc proxime facientem:

292. ΧΟΙ͂ΝΙΞ λέξις δίσημός ἐστι, δηλοῦσα τὸ σκεῦος τὸ μετροῦν, καὶ τὸ μετρούμενον πρᾶγμα. οὕτω δὲ καὶ μέδιμνος, καὶ τὸ τάλαντον, καὶ ὁ ξέστης, καὶ ἕτερα πολλά. ἐκαλεῖτο δὲ καὶ δεσμὸς ποδῶν χοῖνιξ, καθ' ὁμοιότητα τῆς κατὰ τὸ σκεῦος στρογγυλότητος. οἱ δὲ παλαιοὶ ἁπλῶς οὕτω φασί· χοινίκαι, παχεῖαι πέδαι· ὧν ἡ εὐθεῖα ἡ χοινίκη παρονομασθεῖσα ἐκ τῆς χοίνικος γενικῆς.

293. ΧΡΗ͂ΜΑ· τὸ πρᾶγμα, ἢ τὸ κτῆμα. καὶ χρῆμα τῶν νυκτῶν, τὸ μέγεθος τὸ ἐκτεταμένον. ἔθος τοῖς Ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι· οἷον, ἵππος σπάνιόν τι χρῆμα· καὶ γυνὴ σπάνιόν τι χρῆμα· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Ferunt pulchras crateras, aureasque lepistas.
Cuius vocis Latinorum *lepista*, de qua exposuerunt et Festus h. v. et Nonius Marcellus 15,35. p. 793,12. ed. Godofr., si meminisset Schneiderus, vocabulum λεπαστὴ obelo non perfodisset. Adde intrp. ad Hesych. v. λεπαστὴ T. 2. p 450. ubi tamen λεπαστὶς Albertus toleravit, vulgari scribarum errore ortum.

292. Phav. h. v. p. 1868,55. Edidit Villois. ad Apollon. p. 859.

293. Phav. h. v. p. 1873,22.

χρῆμα τῶν νυκτῶν] R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 200. „In rarissimi libri fragmento, Πολυβίου Σαρδιανοῦ περὶ ἀκυρολογίας eadem verba leguntur. χρῆμα γὰρ τὸ πρᾶγμα λέγεται· ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν νυκτῶν ὅσον; quae sunt Aristoph. Nub. 2.“ Haec docti Britanni verba Reisigium induxerunt, ut ad constituendam loci Aristophanei interpunctionem in praefatione Nubium p. XXXII. hoc Philemonis loco uteretur, unde interpunctioni stabiliendae nihil

294. ΧΡΟ'ΝΟΣ ἐστὶ τὸ συμπαρεκτεινόμενον τῇ συστάσει τοῦ κόσμου διάστημα, ἐν ᾧ πᾶσα παραμετρεῖται κίνησις, εἴτε ἀστέρων, εἴτε ζώων, εἴτε οὑτινοσοῦν τῶν κινουμένων. χρόνος λέγεται ἡ τοῦ ἡλίου κίνησις ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ, καὶ ἐνιαυτὸς, καὶ ἔτος. καιρὸς δὲ, μέρος τι χρόνου· ἡμέραι δὲ, ἡ τοῦ οὐρανοῦ κίνησις ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς ἐπαγομένη τὸν ἥλιον. καὶ μέρη δὲ τούτου τέσσαρα, τὸ ἔαρ, τὸ θέρος, τὸ φθινόπωρον, καὶ ὁ χειμών.

295. ΧΡΥ'ΣΕΙΟΝ· τὸ χρυσοῦν. ὃ τροχαϊκὸν κατὰ τὴν τάσιν ὂν οἱ μὲν ποιηταὶ πυῤῥιχαϊκὸν

omnino redundat praesidii. Utilius attulisset Reisigius Acharn. 150.

ὅσον τὸ χρῆμα παρνόπων προσέρχεται,

si tot verbis in re dudum profligata opus fuisset. De v. χρῆμα hoc modo cum Genitivo iuncta cf. Valcken. ad Phoen. 206 Both. ad Plauti Captiv. 52. p. 153. Ita Lex apud Cic. de legg. 2, 8,21. *rem duelli.*

294. Phav. h. v. p. 1876,6. 25., unde Burn. recte αὐτοῦ ante εἰς τὸ αὐτὸ adcivit.

καὶ ἐνιαυτὸς, καὶ ἔτος] De hac vocis potestate nonnisi recentiori aetati propria cf. Valcken. Diatr. p. 135. Boissonad. ad Herodian. Epim. p. 33. 37. 110. 297.

295 Phav. h. v. p. 1876,49.

πυῤῥιχαϊκὸν] Burn. πυρριχιακόν: illud Cod. et Phav, quod servavi haud insciens, hodie eiusmodi adiectiva aliter vulgo efferri. Editum tamen est in Th. Gaisfordii Hephaestione 8. p. 48. πυῤῥιχαϊκὸν, licet infra in Scholiis ibidem p. 157. πυῤῥιχιακὰ e codd. Flor. πυρριακὰ ferentibus repositum sit. Caeterum quo tu cunque modo vocem scribas,

ποιοῦσι, τὸ χρύσεον λέγοντες, ὁμοίως καὶ ἀργύρεον. Ἀττικοὶ δὲ, ἰαμβικόν· τὸ χρυσεοῦν λέγοντες. εἶτα χρυσοῦν. καὶ τοῦτο δῆλον ἐκ τοῦ τὸ κεράμειον ἔτι κεραμεοῦν λέγειν, καὶ τὸ χύτρειον χυτρεοῦν. ὅσα μὲν γὰρ ἀπὸ μετάλλων, ἴσως διὰ τὴν κεκροτημένην εὔτονον αὐτῶν χύσιν, συνεῖλον. τὰ δὲ ἀπὸ πηλοῦ, οἷα δὴ εὔθραυστα, ἀσυνάφετα εἴασαν. δοκεῖ οὖν καὶ τὸ κεραμεοῦν, ἐκ τοῦ κεράμειον γινόμενον, καὶ τὴν τῆς παραληγούσης ἔκτασιν ἐπὶ τὴν λήγουσαν μετατιθὲν, τὴν δὲ τῆς ληγούσης συστολὴν ἐπὶ τὴν παραλήγουσαν ἀναφέρον, παρασκευάζειν τὴν ἑαυτοῦ λήγουσαν, καὶ τὸ τοῦ τόνου δέχεσθαι βάρος, ὥςπερ ἐπὶ ζυγοῦ βλέπειν ἔστι, τὴν πλεῖον βάρος δεχομένην πλάστιγγα, ὡς εἴ τις τοὺς χρόνους αὖθις ἀμείψειε, καὶ τὸν τόνον αὖθις πρὸς τὴν προτέραν ἀναδραμεῖν θέσιν. χρυσῆ δὲ θηλυκὸν καὶ περισπᾶται. πᾶν γὰρ θηλυκὸν εἰς η λῆγον, παρεσχηματισμένον ἀρσενικῷ, εἰ περισπᾶται τὸ ἀρσενικὸν, περισπᾶται καὶ αὐτὸ, οἷον ὁ χρυσοῦς, ἡ χρυσῆ. ὁ Φοινικοῦς, ἡ Φοινικῆ. καὶ πᾶν ὄνομα ἰσοσυλλάβως κλινόμενον, εἰ περισπᾶται ἐπὶ τῆς εὐθείας τῶν ἑνικῶν, καὶ ἐπὶ τῆς εὐθείας τῶν πληθυντικῶν περισπᾶται, οἷον ὁ χρυσοῦς, οἱ χρυσοῖ· ἡ χρυσῆ, αἱ χρυσαῖ. τὸ χρυσοῦν, τὰ χρυσᾶ. ὁ Φοινικοῦς, οἱ

Lexica semel monita, spero, non amplius ea carebunt: Schneiderus solummodo adverbium πυῤῥιχιακῶς attulit.

οἱ χρυσοῖ] in Cod. et Phav. omissum restituit Burneius.

φοινικοῖ· ἡ Φοινικῆ, αἱ Φοινικαῖ· τὸ Φοινικοῦν, τὰ Φοινικᾶ.

296. ΧΥΤῊ ΓΑΙ͂Α· τὸ χῶμα, ἤτοι ὁ κατὰ τύμβον ἀναχωματισμός. χυτὴ γὰρ, φασὶν, οὐχ ἁπλῶς ἡ πᾶσα γῆ, ἀλλὰ ἡ ἐπὶ νεκροῖς χεομένη. οὐ γὰρ βῶλοι αὐτοῖς ἐπιτίθενται, ἀλλὰ χοῦς, ὅ ἐστιν γῆ χυτή. ἢ χυτὴ γαῖα, ἡ χοώδης, ἡ λυτὴ εἰς ξηρὸν χοῦν· ἀφ' ἧς τὰ τῶν τύμβων χώματα, ἤγουν ἀναχωματισμοί. ἔστι δὲ τρόπος ἐτυμολογικὸς χυτὴ γαῖα. δηλοῖ δὲ συνήθως τύμβου ἀναχωματισμόν. ἔστι δὲ, τοῦ χεύαντες τὸ σῆμα, ἑρμηνεία, τὸ χυτὴν γαῖαν ἔχευαν· ὅπερ σῆμά ἐστι τεθνεῶτος τινός. χυτὴν δὲ Ὁμηρικῶς, τὴν ἐπὶ τοῖς νεκροῖς χεομένην γῆν.

297. ΧΩΛΟ'Σ· ὁ βεβλαμμένος τὸν πόδα, ἢ μέλος τι· ἐκ τοῦ τὸ κῶλον τὸ ὀστοῦν βεβλαμμένος, τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, καὶ μεταβολῇ τοῦ τόνου· οἷον, χωλός. Χῶλος δὲ, ὄνομα ῥήτορος, ὡς Πῶλος. ἢ κατά τινας, ἐκ τοῦ κόλος· τροπῇ τοῦ κ̄ εἰς χ̄, καὶ τοῦ ο̄ εἰς ω̄. κόλος γάρ ἐστιν ὁ μὴ τέλειος. Ὅμηρος· κόλον δόρυ. καὶ κόλους κριοὺς, τοὺς ἀποβεβληκότας τὰ κέρατα. χωλὸς οὖν, ὁ μὴ τέλειος.

296. Phav. h. v. p. 1880,7.
χυτὴν δὲ Ὁμηρικῶς etc.] Iliad. ψ, 256.
297. Phav. h. v. p. 1881,6.
Ὅμηρος, κόλον δόρυ] Iliad. π. 117. Articulum mox ante Θερσίτης, qui etiam ap. Phav. exstat, Burneius omisit.

τέλειος. καὶ χωλὸς τὸν ἕτερον πόδα, οὐκ ἐξ ἀνάγκης δηλοῖ, ὡς καὶ κυλλοποδίων καθ' Ἥφαιστον ἦν ὁ Θερσίτης. ἐπὶ πλέον γάρ πως τὸ χωλὸν τοῦ κυλλοῦ. κυλλὸς μὲν γὰρ, ὁ τὰ καίρια βλαβεὶς ἐκ γενετῆς· χωλὸς δὲ κοινῶς, καὶ ὁ ὕστερον ἐκ πληγῆς ἢ ἄλλως πῶς ἐξ ἀρτυώσεως παθὼν κύλλωμα. ἑτέρως δὲ θεωρῆσαι τὸ χωλὸς ἦν ἕτερον πόδα, ἐπίτασίς ἐστι τοῦ γελοίου· ἧττον γὰρ ἄν φασιν ἐγελᾶτο, εἰ ἄμφω τὼ πόδε χωλὸς ἦν. λέγεται δὲ καὶ ἐπὶ χειρὸς τὸ χωλὸς, ὡς παρ' Εὐπόλιδι.

Ψ.

298. ΨΑΦΑΡΟΣ· αὐχμηρὸς καὶ κακόχρους. ἔνθα καὶ ψαφαρὴ ὁμοίως, ἡ λεπτή. καὶ ψαφαρὰ νεφέλη, ἡ σκοτεινή.

299. ΨΕΥ͂ΔΟΣ παρὰ τὸ ψεύδω, ἢ φεύγω, ὃ πάντες φεύγομεν· φεῦγος γὰρ ἀπὸ τοῦ φεύγω, καὶ ψεῦδος. καὶ ψεῦδος ἀπάτη, πλάνη. καὶ ψευδοσέληνον, ἡ ἀμαυρὰ σελήνη.

300. ΨΙ΄ΘΥΡ, ΨΙ΄ΘΥΡΟΣ γίνεται παρὰ τὸ ψύθος. καὶ ψιθυρίζω, τὸ τῇ φωνῇ λεπτολογῶ.

κοινῶς] Cod. et Phav. κοινός.

ἐξ ἀρτυώσεως] Ita Cod., unde Burn. ἐξ ἀρτιώσεως fecit: Phav. ἐξαρτυώσεως. Sequentia dein verba λέγεται δὲ καὶ etc. a Phav. absunt.

298. Phav. h. v. p. 1864,16.

299. Ibid. lin. 46., verbis καὶ ψεῦδος post φεύγω omissis.

300. Idem h. v. p. 1887,34. Similia Etym. M. p. 818,62.

παρὰ τὸ ψίω, καὶ τὸ θύρα, ὃ σημαίνει περιφραστικῶς τὰ χείλη. ἐκ τούτου ψιθυρισμὸς, ἡ λεπτὴ φωνή. τινὲς δὲ τὸ ψιθυρίζειν ὠνοματοπεποιῆσθαί φασιν, ὡς τὸ κρίκειν καὶ σίζειν, ἀπὸ τοῦ τελουμένου ἤχου ὑποφυσῶντος τοῦ ἀνέμου. ὅθεν κυρίως ἐπὶ τῶν ψευδομένων τὸ ψιθυρίζειν λαμβάνουσιν, ἐγκειμένου τοῦ ψύθους ὀνόματος. Καλλίμαχος, Σκύλλα γυνὴ κατακᾶσα, καὶ οὐ ψύθος οὔνομ' ἔχουσα.

301. ΨΙΛΗ' ἌΡΟΣΙΣ· ἡ ἄφυτος, καὶ καθ' ἑαυτὴν μόνην οὖσα· καθ' ὁμοιότητα τοῦ ψιλοῦ στρατιώτου. καὶ ψιλὸν, τὸ γυμνὸν, ἔρημον, εὐτελὲς, ἄτριχον, καὶ πᾶν ἀποδεδαρμένον. καὶ ψιλὸς, ὁ ἀδύνατος. παρὰ τὸ ψῶ, ὅθεν καὶ καταψίω. οὗ πᾶν ἀπέψισται καὶ ἀφήρηται. καὶ ψιλὸς, κοῦφος.

302. ΨΥ'ΔΡΑ· τὰ ποικίλα, ἃ Ἴωνες ψύδρακας λέγουσιν. ὅθεν καὶ ἡμεῖς ψύδρακας καλοῦμεν τὰ ἐπὶ τοῦ σώματος ἐξανθήματα.

303. ΨΥ'Η παρὰ τὸ ψαύω, ἡ ἐπιψαύουσα σὰρξ, καὶ ἐξ ἐπιπολῆς οὖσα τοῖς ὀστέοις.

304. ΨΥΧΗ'· ἡ λογικὴ, καὶ ἡ ἐν τοῖς ἀλό-

τȣ ἀνέμου] Articulum e Cod. et Phav. addidi.

Καλλίμαχος] Fragm. 184. In Cod. est κᾶσα praecedente spatio vacuo. Mox idem et Phav. οὔνομα.

301. Phav. h. v. p. 1887,53.

302. Id. h. v. p. 1886,25.

303. Ibid. lin. 27.

304. Ibid. lin. 58. Totam §. totidem fere verbis reddit

γοις ζῴοις, καὶ ἡ ἐν τοῖς φυτοῖς. ψυχὴ καὶ ἡ ζωὴ, ὡς παρ' Εὐριπίδῃ· καὶ ἡ φύσις, ὡς παρὰ Σοφοκλεῖ, τῆς ἐμῆς ψυχῆς γεγὼς, ἤγουν ἐκ τῆς ἐμῆς φύσεως.

305. ΨΩΛΟ'Σ· ὁ λειπόδερμος, ὀξυτόνως. καὶ ἀκρόψωλος, ὁ ἐπὶ βραχὺ τοιοῦτος. ψωλὸν δὲ, παρὰ Ἀριστοφάνει, τὸν ἀσχήμονα κατὰ παρέκτασιν

Grammaticus incertus ineditus cod. Reg. Paris. 1698. fol. 81. *recto*.

Εὐριπίδῃ] Addunt Phav. et Grammaticus Parisinus, οἷον, ἐπεὶ δὲ Τροία Ἕκτορός τ' ἀπώλετο ψυχή: qui locus in Hecub. 22. hodie ita editur:

ἐπεὶ δὲ Τροία θ', Ἕκτορός τ' ἀπόλλυται
ψυχή.

Aldus tamen et alii ἀπώλετο servant. Caeterum Euripides hac vocis vi saepe usus est: vide, ne multa, Rhes. 183. Alcest. 301. Ita etiam Sophocles Electr. 975. Erf. In Pindari Olymp. 8,36. Ahlwardtus reiecta Boeckhii lectione ψυχὰς an recte ediderit

αὖθι τ' ἀτυζομένω πνοιὰς βάλον,

disceptari potest propter βάλον, quod voci πνοιὰς convenire vix videtur, cui ubi de efflando vitae spiritu dicitur, apud poetas compositum verbi ἵημι iungi solet, cuius generis sunt ἀφεῖναι, μεθεῖναι. Contra voci ψυχὴ necesse est ampliorem concedas usum, quum memineris Iliad. π, 505.

τοῖο δ' ἅμα ψυχήν τε καὶ ἔγχεος ἐξέρυσ' αἰχμήν.

Σοφοκλεῖ] Electr. 768. Erf. ubi v. Schol. Erfurdtius ibi hunc Philemonis tunc MS. locum citat, nimirum quem Brunckius *Lex. Sophocl.* v. ψυχὴ p. 744. protulerat.

305. Similia Phav. h. v. p. 1887,19. et Schol. Victor. Aristoph. Av. 507. in Thierschii *Act. Phil. Mon.* vol. 1. fasc. 3. p. 392.

Ἀριστοφάνει] Plut. 267. ibiq. Schol.

τοῦ μορίου. καὶ ψωλὴ, τὸ μόριον· παρὰ τὸ φυσᾶσθαι κατὰ τὴν ὄρεξιν τῶν ἀφροδισίων, ὅτι καὶ φύσει φυσώδης ἐστίν.

306. ΨΩΜΟΙ΄· μέρη ἄρτου, ἤτοι τὰ κόμματα, ὅθεν καὶ ψωμὸς ἄρτου, ὁ παρ' Ἡσιόδῳ βλωμός. ψωμὸς δὲ εἴρηται παρὰ τὸ ψήχεσθαι ὑπὸ τῶν ὀδόντων, καὶ τρίβεσθαι κατὰ τὰ ψαιστά. ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ ψῶ, τὸ λεπτύνω.

307. ΨΩ΄ΡΑ παρὰ τὸ ψῶ, τὸ κνήθω, οὗ παράγωγον ψαύω. ἐπειδὴ οἱ τῷ πάθει τούτῳ συνεχόμενοι, πολλὴν ἔχουσιν ὁρμὴν πρὸς τὸ ψᾷν τε, ἢ ψαύειν, καὶ κνήθειν τὰ πεπονθότα τοῦ σώματος μέρη. τὸ γὰρ ψῶ, τέσσαρα σημαίνει. ψῶ, τὸ ἅπτομαι· ἐξ οὗ καὶ ψώρα, παρὰ τὸ ἅπτεσθαι καὶ κνήθειν τὰ πεπονθότα μέρη τοῦ σώματος. ψῶ, τὸ λεπτύνω καὶ σμικρύνω· ἐξ οὗ καὶ ψιλὸς στρατιώτης, ὁ ἄοπλος καὶ γυμνός. ψῶ, τὸ κόπτω· ἐξ οὗ καὶ ψωμὸς, ὁ εἰς μικρὰ κεκομμένος. ψῶ, τὸ καίω· ἐξ οὗ καὶ ψωλὸς, ὁ κεκαυμένος δαλός.

ψωλή, τὸ μόριον] Aristoph. Av. 561. Lysistr. 143. 978.

306. Phav. h. v. p. 1887,31. Hesiodi locus est Op. et D. 442.

ἄρτον δειπνήσας τετράτρυφον, ὀκτάβλωμον.

307. Multo concisiora Phav. v. φῶ p. 1887,58.

ἄοπλος] Ne cui ἄνοπλος hic reponendum esse in mentem veniat, moneo vocem etiam in Eudociae Violar. p. 28. exstare.

Ω.

308. ὯΑ· ἡ ἐσχάτη ἄκρα τοῦ ἱματίου. καὶ ὦα, ἡ διφθέρα· οἷς γὰρ τὸ πρόβατον. ἢ ὦα, ἡ μηλωτὴ, κατ᾽ ἔκτασιν· καὶ δῆλον, ἐκ τοῦ οἷς. ὄϊαι, διφθέραι, μηλωταί· οὗ ἐκτάσει καὶ συναιρέσει, ὦαι. ὄα δὲ, κατὰ Αἴλιον Διονύσιον, ἐπὶ ἱματίου, διὰ τοῦ ο̄ μικροῦ.

309. ὨΓΥΓΙΟΝ· τὸ παλαιόν. καὶ Ὠγυγία, κύριον ὄνομα τῆς κατὰ τὴν Καλυψὼ νήσου· ἀπό τινος Ὠγύγου φασὶ βασιλέως Θηβῶν, ὅθεν καὶ Ὠγυγίας τὰς Θήβας λέγουσι. Κορίννα δὲ τὸν Ὤγυγον Βοιωτοῦ υἱὸν εἶπε· καὶ ἀπὸ τούτου Ὠγυγίαι τῶν Θηβῶν πύλαι.

310. ὨιΔΗ· τὸ ᾆσμα. διάφοροι δὲ ᾠδαὶ παρὰ τῷ Ποιητῇ. αἱ μὲν, ἐπὶ θεῶν· οἷον

οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο.

καὶ τὰ ἑξῆς. ἕτεραι δὲ ᾠδαὶ, ἔν τε γάμοις καὶ εἰ-

308. Similia Phav. h. v. p. 1888,7.

309. Nonnulla ibid. lin. 32.

ὨΓΥΓΙΟΝ· τὸ παλαιόν.] Hac vocis significatione usi sunt Aeschylus Eum. 979. Coluthus 10. a Bekkero restitutus, Empedocles apud Aristotel. de sensu et sensilibus c. 2., in cuius fragmento

ὡς δὲ τότ᾽ ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον πῦρ
λεπτῇσιν ὀθόνῃσιν ἐχεύατο κύκλοπα κούρην

apparet legendum esse λεπτοσύναις ὀθόνῃσιν.

310. Phav. h. v. p. 1888,38.

οἱ δὲ πανημέριοι μολπῇ etc.] Est Iliad. α, 472.

λαπίναις, καὶ ἁπλῶς εὐωχίαις· ὁποία ἡ ἐν τῇ ὁπλοποιΐᾳ μουσικὴ, καὶ ἡ παρὰ τοῖς μνηστῆρσί τε καὶ τοῖς Φαίαξιν. Ἀχιλλεὺς δὲ προϊόντος τοῦ λόγου ἄλλον τρόπον μεταχειρίζεται τὴν ᾠδὴν, ἀείδων κλέα ἀνδρῶν. εἰσὶ δὲ πενθητήριοι ᾠδαί· καὶ ἀοιδοὶ θρήνων ἔξαρχοι, παρὰ τῷ Ποιητῇ. ὅλως δὲ, ὡς οἱ παλαιοὶ σημειοῦνται, πέντε εἰσὶν ᾠδαὶ παρὰ τοῖς ἥρωσι· σωφρονιστικὴ, ὁποία ἡ τοῦ τῇ Κλυταιμνήστρᾳ συνόντος ἀοιδοῦ· ἐγκωμιαστικὴ, ὡς ἡ ῥηθεῖσα τοῦ Ἀχιλλέως· θρηνητική· ὀρχηματικὴ, ὡς ἡ τοῦ νεανίου τοῦ ἐν τῇ ὁπλοποιΐᾳ ᾄδοντος· καὶ παιανικὴ, ἡ εἰς τὸν Παιήονα, ὡς λέγει, καλὸν ἀείσαντες παιήονα οἱ κοῦροι τῶν Ἀχαιῶν τὸν θεὸν ἔτερψαν. παράγεται

προϊόντος τοῦ λόγου] Plato Phaedr. p. 238. D. ὥστε, ἐὰν ἄρα πολλάκις νυμφόληπτος προϊόντος τοῦ λόγου γένωμαι, μὴ θαυμάσῃς. Demosthen. in Polyclem p. 1215,26. τούτου δὲ τὸ αἴτιον ἐγὼ ὑμᾶς προϊόντος τοῦ λόγου διδάξω. Plat. de legg. 3. p. 678. ed. Steph. et Xenoph. de re equestri 1,16. προϊόντος τοῦ χρόνου. Similia congessit Boeckhius ad Plat. Minoëm p. 153. In Platonis Phileb. p. 20. ed. Steph. quod Bekkerus edi nuper iussit προϊὸν δ' ἔτι σαφέστερον δείξει, vereor ne ipse defendere nesciat, eo magis castigandus, quod Fischerum e Basil. 2. προϊὼν δ' ἔτι ὁ λόγος σαφέστερον δείξει recipiendum esse suadentem sequutus Schleiermacherus saniora iam reddiderat contexta.

ἀείδων κλέα ἀνδρῶν] Iliad. ι, 179. de Achille:

ἄειδε δ' ἄρα κλέα ἀνδρῶν.

Παιήονα] Reliqua desunt apud Phav. Qui statim sequitur Homericus locus in Iliad. α, 473. ita habet:

καλὸν ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν.

Dein pro τὸν θεὸν Codex τὸν θυμόν.

δὲ ᾠδὴ παρὰ τὸ ᾄδειν. λόγος δέ ἐστι μεμελισμένος. ᾠδὴ παρὰ τῷ Ἀριστοφάνει ἐν παραβάσει καὶ στροφὴ ὀνομάζεται ἐν Νεφέλαις, διὰ τὸ στροφήν τινα ποιεῖσθαι τὸν χορὸν ἀπὸ τοῦ πρὸς τοὺς θεατὰς ὁρᾷν, καὶ ᾄδειν εἰς ἕτερον ἀφορῶντα μέρος. ἔστι δὲ ὡς ἐπιτοπλεῖστον εἰς θεοὺς ἡ ᾠδὴ, ἣν καὶ ὑμνῳδίαν καὶ ᾆσμα καλέσαι δυνάμεθα. κυρίως δὲ ὁ ὕμνος ἐπὶ θεοῦ λέγεται, ὡς ἐγκώμιον καὶ ἔπαινος ἐπὶ ἀνθρώπων.

311. ὨΚΑΛΕΉ· πόλις. εἴρηται μὲν καὶ Ὠκάλεια· καλεῖται δὲ οὕτω, διὰ τὸ ὦκα καὶ συντόμως ἐκεῖθεν πορεύεσθαι· ἢ ἀπὸ ποταμοῦ παραῤῥέοντος. παραῤῥεῖ γὰρ αὐτὴν ποταμὸς ὁμώνυμος.

312. ὯΛΞ· ἡ αὖλαξ, ἀπὸ τοῦ ἀλέγω, τὸ λόγον ποιοῦμαι καὶ φροντίζω, ἀλέξω, ἄλοξ· καὶ μεταθέσει, ἄολξ· καὶ ἐν συναιρέσει, ὦλξ· ἡ ἐν λόγῳ δηλαδὴ οὖσα. διηνεκὴς δὲ ὦλξ, ἡ διόλου ἐνηνεγμένη, μία καὶ κοιλανθεῖσα μιᾷ μακρᾷ τομῇ.

313. ὨΜΗΣΤΑΊ· κυρίως, οἱ ὠμὰ ἐσθίοντες. λέγεται δὲ ἐπιθετικῶς καὶ ἐπὶ λεόντων καὶ θηρίων

ἐν Νεφέλαις] Nescio an ad v. 586. pertineat, ubi v. Schol.

311. Phav. h. v. p. 1889,78.

312. Id. h. v. p. 1891,2.

διηνεκὴς δὲ ὦλξ] Odyss. σ, 374.

μακρᾷ] Ita Burn. pro μικρᾷ quod in Cod. et Phav. fertur.

313. Phav. h. v. p. 1891,30. Edidit Villois ad Apollon. p. 875. Grammatici verba spectant Iliad. λ, 454. ubi v. Schol.

ἄλλων, καὶ ἐπὶ ἰχθύων. ὅπερ βαρύνει ὁ Τυραννίων, ὡς σύνθετον ἐκ τοῦ ὠμὰ ἐσθίειν· Ἀρίσταρχος δὲ ὀξύνει κάνονι τοιούτῳ· τὰ εἰς τῆς, τῷ η παραληγόμενα, ἔχοντα πρὸ τοῦ τ τὸ σ, ὑπὲρ δύο συλλαβὰς, ὀξύνονται, οἷον ἑρπηστὴς, ὀρχηστής. ὅτι δὲ ὠμηστὴς ἐκ τοῦ ὠμὰ ἐσθίειν γίνεται, τραπέντος Ἰωνικῶς τοῦ δασέος θ εἰς ψιλὸν τ, ὁ Ὅμηρος δηλοῖ εἰπὼν, θῶας ὠμοφάγους, ὃ ταὐτόν ἐστι τῷ ὠμηστάς.

314. ὨΜΟ'Ν· τὸ μὴ μεταβολὴν εἰληφὸς εἰς πέψιν· ὡς καὶ τὴν ἔξω τροφὴν, ὠμὴν λέγουσιν, οὔτε ἡψημένην, οὔτε ὠπτημένην. ἢ, ὡς Φιλόξενος, ὠμὸν, τὸ ἐν ταυτότητι μένον καὶ ὑπάρχον, καὶ μὴ μεταβληθέν· παρὰ τὸ ὦ, τὸ ὑπάρχω. καὶ ὠμὸν γῆρας, τὸ παρὰ καιρὸν, ἤτοι τὸ ἄωρον πέπανσιν ἔχον, ὡσεὶ καὶ καρπός τις πεπανθείη κατασαπείς. ὠμογέρων δὲ ἐξ αὐτοῦ καὶ δηλοῖ ὄνομα ἡλικίας γεροντικῆς ἐχούσης ὑγιῶς, οὐ μὴν πεπονθυίας γῆρας ἔκ τινος νοσερᾶς ὠμότητος. τινὲς ὠμογέροντα τὸν σκληρόν φασιν. ἔστι δὲ ὠμογέρων ὁ λεγόμενος προπόλιος.

315. ὮΜΟΣ· μέρος σώματος, λέγεται παρὰ τὸ ὦ τὸ ὑπάρχω, ὁ ὑπομένων τὰ βάρη ἰσχυρῶς

Veneta. Alter Homeri locus, θῶας ὠμοφάγους, est ex Iliad. λ, 479., ubi ὠμοφάγοι μιν θῶες.

314. Phav. h. v. p. 1891,10. Edidit Villois. l. c. p. 874. ὠμὸν γῆρας] Odyss. ο, 356.

315. Phav. h. v. p. 1892,21.

καὶ τὰ Φορτία. ἔστι δὲ τὸ μέρος τοῦ σώματος, ἐξ οὗ καὶ ὠμὸς, ὁ ἀπηνὴς καὶ σκληρός.

316. ὯΝΑΞ· ἀντὶ τοῦ ὦ ἄναξ Δωρικῶς, ὀξύνεται καὶ οὐ περισπᾶται· τὸ γὰρ ᾱ οἱ Δωριεῖς εἰς ω̄ τρέπουσι, τὸν ἄνθρωπον ὤνθρωπον λέγοντες, καὶ τὸ ἄναξ ὤναξ, καὶ τὰ ὅμοια οὕτως. εἰ δ' ἔστιν Ἀττικὴ συναλοιφὴ ἀντὶ τοῦ ὦ ἄναξ, περισπᾶται· καὶ πρὸ τοῦ ν̄, ψιλὴν, ἀντὶ τοῦ ἐκβληθέντος ᾱ. ὧλλοι δὲ ἀντὶ τοῦ οἱ ἄλλοι, τῆς νεωτέρας Ἰάδος ἐστὶ συναλοιφή. διὸ μέμφονται Ζηνοδότῳ εἰπόντι, ὧλλοι μὲν γὰρ θεοί τε καὶ ἀνέρες. οὐ κέχρηται γὰρ ταύτῃ Ὅμηρος. ἔστι δὲ καὶ Ἰωνικὸν τὸ ὤνθρωπος, καὶ ὤριστος. οἶμαι δὲ τοῦτο ποιεῖν αὐτοὺς ἐκ συναλοιφῆς ἐπὶ μόνων τῶν εὐθειῶν καὶ κλητικῶν, ὥςπερ οἱ Ἀττικοὶ ποιοῦσιν. Ἡρόδοτος ἐπὶ τῆς κλητικῆς οὕτω φησὶν, ὤνθρωπε, μὴ κτεῖνε Κροῖσον. καὶ ἀλλαχοῦ, ὦναξ Ἡράκλεις, ἀντὶ τοῦ ὦ ἄναξ. καὶ Ὅμηρος·

λοῖσθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους,

ἀντὶ τοῦ ὁ ἄριστος.

316. Ibid. lin. 39. p. 1839,1. et 1891,58. Cf. Maittair. de dial. p. 136. ed. Sturz.

ὧλλοι μέν γὰρ θεοί τε καὶ ἀνέρες] R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 200. μὲν ῥα monet legendum, quod nemo non videt.

Ἡρόδοτος] 1,85.

Ὅμηρος] Iliad. ψ, 536.

317. ὯΠΕΣ· ὀφθαλμοὶ, οἷον ὀπαί τινες οὖσαι τῆς ψυχῆς, δι' ὧν τὸ κατάστημα τῆς ψυχῆς θεωρεῖται. ὅθεν καὶ ὑπώπια· ἢ ὅτι ὀπῇ καὶ τρήματι ἐοίκασιν. Ὅμηρος δὲ οὐ μόνον τὴν ὄψιν λέγει, ἤτοι τοὺς ὀφθαλμοὺς, ἀλλὰ τὴν ὅλην πρόςοψιν τοῦ σώματος· ἥτις καὶ αὐτὴ ἀπὸ τῆς ὄψεως λέγεται, καθὰ καὶ τὸ μέτωπον, καὶ τὸ πρόςωπον. ὅτι δὲ τὸ πᾶν τοῦ κάλλους οἱ ὀφθαλμοί εἰσι, δηλοῖ καὶ ὁ εἰπὼν, ὅτι

διὰ καλῶν γὰρ ὀμμάτων
αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα·

ἴσως δὲ τὸ εἰς ὦπα, οὐδὲ μόνον τὸ πρόςωπον δηλοῖ, ἀλλὰ τὴν ὅλην φυὴν τοῦ σώματος ἐκ τοῦ προςώπου φυσιογνωμονῶν. σαφέστερον δὲ τὸ κάλλος τῆς Ἑλένης ἔδειξεν ὁ εἰπὼν Τραγικὸς, ἣν καλλίστην ὁ χρυσοφαὴς ἥλιος αὐγάζει. καὶ ὤπια, τὰ ὀφρύδια.

318. ὯΡ· ἐκ τοῦ ὄαρ, περισπωμένως, ὡς ἔαρ

317. Usque ad verba τρήματι ἐοίκασιν Phav. h. v. p. 1893,36. Edidit Villois. ad Apollon. p. 877. Cf. Sturz. ad Orion. Etym. p. 169.

οἷον ὀπαί τινες οὖσαι τῆς ψυχῆς] R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 200. „Eandem loquendi formam usurpavit Gauricius de sculptura, p. 51. *oculi tanquam conspicillares animorum nostrorum fenestras natura esse voluit.*"

ὁ εἰπὼν] Euripides Hec. 446,47. Alter Tragici locus est eiusdem fabulae v. 638,39.

318. Multo breviora Phav. v. ὤρισσι p. 1895,2. Edidit Villois. ad Apollon p. 879.

ἦρ· ἡ γυνή. καὶ πληθυντικῶς, ὦρες, οὗ ἡ δοτικὴ ὤρεσιν, ὡς ἄνδρεσι. καὶ ὤρεσιν ἀμυνέμεν, τουτέστι γυναιξίν. γίνεται ἐκ τοῦ ἀείρω, τὸ ὁμοῦ εἴρω καὶ συζευγνύω· ὡς τὸ, σὺν δ' ἤειρεν, ἤγουν συνέζευξε, συνέδησεν. ἐξ αὐτοῦ ῥηματικὸν ὄνομα ἄορ, ἡ συνεζευγμένη καὶ ὁμοῦ οὖσα τῷ ἀνδρὶ γυνή. διὰ δὲ τὴν πρὸς τὸ ξῖφος συνέμπτωσιν μετατεθὲν τὸ α, γέγονεν ὄαρ. ἐξ οὗ καὶ ἁπλῶς ὀαρίζω, τὸ σύνειμι, καὶ οἷον συνέζευγμαι, καὶ ὁμιλῶ· καὶ ὀαριστὺς, ἡ ὁμιλία· καὶ ὀαριστὴς, ὁ ὁμιλητής. καὶ ξυνάορος, κατὰ τὴν Τραγῳδίαν, ἡ γυνὴ, καὶ ὁ ἀνήρ. καὶ ξυ-

ὤρεσιν ἀμύνεμεν] Habes in Iliad. ε, 486. καὶ ἀμυνεμέναι ὤρεσσι. Mox Villois. αἴρω pro εἴρω, quod etiam Phav. servat.

σὺν δ' ἤειρεν] Iliad. κ, 499. Pro ἤγουν, quod statim sequitur, Villoisonus οἷον, quem ideo castigavit Bredovius *Epistol. Paris.* p. 56.: etiam Phav. ἤγϵν. Cuius confusionis in transcursu iuvat aliud exemplum adnotare e Scholio Philostrati Heroicorum, quod Boissonadus e cod. Paris. 1696. ita edidit: περίεστι γὰρ καὶ σύκων] ἀντὶ τοῦ περιουσία ἐστὶ, ἤγουν * περίεστί μοι χρημάτων: at oportebat eum, ita ipsum loco haerentem, ut apposito post ἤγουν asterisco aliquid excidisse significaret, οἷον corrigere, quod ipsum alius codex Paris. 1699. liquide praestat. Alio modo oblitteratum habes οἷον in Apollonii Lex. Hom. p. 283. ed. Toll. ubi editur: ἘΠΙΓΡΑ'ΜΒΗΝ. ὅσον ἐπικαταξύσαι. E quo Apollonii loco voce ἐκικαταξύω Lexica augentur.

κατὰ τὴν τραγῳδίαν] Eumathius de amor. Ism. 10. p. 440. ed. Lips. καὶ τοῦτο προσφόρως κατετραγῴδησα λέγων: ubi unus codicum meorum Paris. καὶ τοῦτο προσφόρως κατὰ τὴν τραγῳδίαν ἔλεγον. At Eumathio verbum illud familiarissimum est: v. 5. p. 178. 6. p. 240. 7. p. 310. 316. 10. p. 440. 454.

νωρὶς, ἡ συζυγία τῶν ἵππων. καὶ τέτρωρον, τὸ τετράζευκτον. καὶ τέτρωρες ἵπποι ἐν Ὀδυσσείᾳ.

319. ὯΤΑΝ· ὦ οὗτος, ὦ τάλαν, ὦ μέλεε. ταῦτα παρὰ τοῖς νεωτέροις ὑπὸ τῶν γυναικῶν λέγεται μόνον· παρὰ δὲ τοῖς παλαιοῖς, καὶ ὑπ' ἀνδρῶν. πολλάκις δὲ καὶ ἐπὶ πλήθους φασὶ τὸ ὦταν, ὡς παρὰ Κτησιφῶντι. οἱ δὲ Ἀττικοὶ τὴν πρώτην συλλαβὴν περισπῶσι, τὴν δὲ δευτέραν βαρυτονοῦσι, καὶ βέλτιον οὕτως. ἀδύνατον γὰρ μίαν λέξιν εὑρεθῆναι δύο ἔχουσαν περισπωμένας. Δείναρχος δὲ τὸ πλῆρες εἶναι φησὶν, ὦ ἔταν· ἀγνοῶν ὡς ἀπὸ τοῦ ἔτης ἡ κλητικὴ ἐστιν ἔτα, καὶ Δωρικῶς ἔταν. σημαίνει δὲ τὸν συνήθη καὶ φίλον.

320. ὨΤΕΙΛΗ· κυρίως μὲν τραῦμα, τὸ ἐκ τοῦ οὐτάσαι ὅ ἐστιν ἐγγύθεν τρῶσαι. Ὅμηρος δὲ

Postremum Eumathii locum emendatiorem hic adscribo e codd. Paris. Reg. 2895. 2897. 2914. 2915. et Vaticano uno: ταῦτα δὴ ταῦτα Διάντεια μήτηρ ἐμὴ καὶ λίαν ἐλεεινῶς κατετεραγῴδει. Cf. Schmidt *Tausend Griechische Wörter* p. 23.

τέτρωρες ἵπποι ἐν Ὀδυσσείᾳ] At ibi hodie editur ν, 81. τετράοροι ἄρσενες ἵπποι.

319. Phav. h. v. p. 1898,29. Cf. Etym. Gudian. p. 583,28. Pierson. ad Moer. p. 323. Sturz. ad Orion. Etym. p. 170.

ἐπὶ τῶν γυναικῶν] Vulgo hoc loco et mox ὑπὸ, quod cum ἐπὶ utroque loco commutavimus.

ὡς παρὰ Κτησιφῶντι] Ruhnkenius ad Timaeum p. 282. ὡς παρὰ Νικοφῶντι legi iubet.

320. Phav. h. v. p. 1898,38. Edidit Villois. ad Apollon. p. 879. sq.

ἐν τῷ δ' τῆς Ἰλιάδος, τὸ ἐκ τῆς βολῆς οὕτως ἐκάλεσε. καὶ μὴν καὶ ἄλλην διαφορὰν οἶδε τοῦ οὐτάσαι καὶ τοῦ βαλεῖν, ὡς ἀλλαχοῦ φαίνεται. διαφέρει δὲ οὐλῆς ὠτειλή· ὅτι ὠτειλὴ μὲν, αὐτὸ τραῦμα· οὐλὴ δὲ, τύλος, ἢ τύπος, θεραπευθέντος τοῦ τραύματος. τὸ δὲ λέγειν ὠτειλὴν οὐταμένην, τρόπος ἐτυμολογίας ἐστί. παρὰ τὸ οὐτάζω γὰρ ὠτειλή· τὸ μὲν ω μέγα ἔχουσα Δωρικῶς, τὸ δὲ δίφθογγον κατὰ Βοιωτούς. ὀξύνεται δὲ κανόνι τοιούτῳ. τὰ εἰς λη θηλυκὰ μονογενῆ διφθόγγῳ παραληγόμενα ὀξύνεται, εἰ μὴ ἔχει ἔννοιαν συνθέσεως, ὡς τὸ δείλη, σύνθετον ὂν παρὰ τὸ ἐνδεῖν τῇ ἕλῃ. ἔστω δὲ παραδείγματα τοῦ κανόνος ταῦτα, αὐλή· ὠτειλή· ἀπειλή· οὐλὴ, παρὰ τὸ οὐλεῖν, τὸ ὑγιαίνειν.

321. ὨΦΕΛΙΜΟΝ· τὸ ὠφέλειαν ἐμποιοῦν. τὰ γὰρ εἰς μος, τὰ μέν εἰσιν ἐνεργητικὰ, οἷον ὠφέλιμος· τὰ δὲ παθητικὰ, οἷον τρόφιμος, ὁ τρεφόμενος ὑπό τινος. καὶ πάλιν τὰ μὲν αὐτῶν εἰσὶ δυνάμει, οἷον ἰάσιμος, ὁ δυνάμενος ἰαθῆναι· τὰ δὲ ἐνεργείᾳ, οἷον ἀοίδιμος, ὁ ἀεὶ ᾀδόμενος καὶ ὑμνούμενος.

322. ὮΧΡΟΣ· ἡ ὠχρίασις, καὶ προπερισπᾶ-

ἐν τῷ δ'] Cod. et Phav. γ'; locus Iliadis autem est δ, 140. ubi v. Schol. Mox ὠτειλὴν οὐταμένην habes Iliad. ξ, 518.

διφθόγγῳ παραληγόμενα] Addidit haec e Phav. Burneius. Dein Cod. et Phav. ὕλῃ pro ἕλῃ.

321. Phav. h. v. p. 1899,31. Thomas M. h. v. p. 935.

322. Phav. h. v. p. 1900,25. Edidit Villois. ad Apollon. p. 881.

ται εἰς ἀποφυγὴν τοῦ ἐπιθέτου. τὸ γὰρ ἐπίθετον ὠχρός ἐστιν ὀξυτόνως· ἢ ὡς ὑπερτεθὲν καὶ συναιρεθὲν ἐκ τοῦ ἄχροος. ἢ ὅτι τὰ εἰς ος δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ω, μὴ προσκειμένου τοῦ ι, βαρύνεται, οἷον ὦρος, ὦμος, ὦνος. τὸ δὲ ᾠδὸς ὀξύνεται, διότι τὸ ι προσγράφεται εἰς τὴν ἄρχουσαν. σημαίνει δὲ τὸ ὦχρος καὶ εἶδος ὀσπρίου, ἀπὸ τοῦ χρώματος.

323. Ὤψ· ἡ ὄψις, παρὰ τὸ ὄπτω, τὸ βλέπω, οὗ ὁ μέλλων ὄψω, ἀποβολῇ τοῦ ω, καὶ αὐξήσει, ὤψ. σημαίνει δὲ τρία. δύο διὰ τοῦ ω μεγάλου, τὸ πρόσωπον, καὶ τὸν ὀφθαλμόν. σημαίνει δὲ καὶ κύριον ὄνομα, ὡς ἐν Ὀδυσσείᾳ, Ὦπος θυγάτηρ. σημαίνει δὲ καὶ τὴν φωνὴν, διὰ τοῦ ο μικροῦ.

323. Phav. h. v. p. 1900,31. Etym. M. p. 826,16. Edidit Villois. l. c. p. 877. Odysseae mox laudatae locus est, α, 529.

ἈΡΧῊ ΤΩ͂Ν ῬΗΜΆΤΩΝ.

A.

1. ἈΒΑΚΊΖΩ· ἀντὶ τοῦ ἡσυχάζω, γίνεται ἀπὸ τοῦ ἀβακῶ, ὡς παρ' Ἀνακρέοντι· ἐγὼ δὲ μισέω πάντας, οἳ χθονίους ἔχουσι ῥυθμοὺς, καὶ χαλεποὺς μεμαθήκασιν, ὡς μεγίστη τῶν ἀβακιζομένων. ἀντὶ τοῦ τῶν ἡσυχίων, καὶ μὴ θορυβουμένων.

2. ἈΒΡΟΤΑΖΩ· τὸ ἁμαρτάνω. Ὅμηρος, μή πως ἀβροτάζωμεν ἀλλήλοιν. κυρίως ἐπὶ τῶν τοξοτῶν, τὸ βροτοῦ ἀποτυχεῖν, ὡς ἐν πολέμῳ.

3. ἈΓΆΣΘΑΙ τρία σημαίνει. τὸ θαυμάζειν· τὸ φθονεῖν· καὶ τὸ μισεῖν. Ὅμηρος ἀγαίασθαι καὶ ἄγασθαι εἶπεν ὡς ταὐτὰ ὄντα. ἔστι δὲ

1. Phav. h. v. p. 3,58. Anacreontis locus inter fragmenta hodie exstat XXXV. p. 368. ed. Fischer., multis modis a V. D. tentatus.

2. Phav. h. v. p. 7,33. Homeri locus est Iliad. κ, 65.

αὖθι μένειν, μήπως ἀβροτάξομεν ἀλλήλοιϊν,

unde Codicis scripturam a Burn. repetitam ἀβροτάζωμεν ἀλλήλοιν correxi.

3. Phav. h. v. p. 8,42.

Ὅμηρος ἀγαίασθαι] Occurrit verbum Odyss. υ, 16. Sequentia καὶ ἄγασθαι Philemoni e Phav. reddidit Burneius.

τὸ ἀγάω πρωτότυπον τοῦ ἀγαίω· καὶ ἀγάασθαι παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐκπλήττεσθαι, ἐπίτασίς τις τοῦ θαυμάζειν.

4. ἈΓΑΎΩΣΙ λέγομεν· καὶ οὐκ ἄξωσι. καὶ ἁπλῶς εἰπεῖν, ὁ μὲν πρῶτος ἀόριστος, καὶ οἱ ἐξ αὐ-

4. **Phav. h. v. p. 8,49. Thom. M. p. 4. Bern. De h. v. plura Lexicon ineditum cod. Paris. Reg. 2562. fol. 210.** *verso*: Ἄγομαι παθητικῶς ἀντὶ τοῦ φέρομαι, ὡς καὶ Ἀριστοφάνης [Nub. 242.]

ἄγομαι, φέρομαι τὰ χρήματ' ἐνεχυράζομαι.

καὶ ἄγομαι τὸ παιδεύομαι, ὡς καὶ Ξενοφῶν [Mem. 4, 1,3], καὶ κύνας καλῶς ἀχθείσας. καὶ ἄγομαι, μὲν παθητικῶς λεγόμενον, ἐνέργειαν δὲ δηλοῦν, οἷον ἄγομαι χάριν, ἀντὶ τοῦ λαμβάνω, ὡς καὶ παρὰ Θεοκρίτῳ [1,9.]

αἴκα τ' αἱ μῶσαι τὰν οἴϊδα δῶρον ἄγονται.

καὶ ἄγομαι γυναῖκα, ἀντὶ τοῦ εἰς γάμον ἄγω, ἐπὶ ἐνεργείας, ὡς καὶ Λιβάνιος· ἣν ἀπολωλυίας αὐτῷ τῆς πόλεως Νικομηδ . . . [supple Νικομήδης] ἄγεται. Ἀνάγω τὸ παιδεύω καὶ διδάσκω, οἷον ἀνάγει τὸν παῖδα ὁ παιδαγωγός. καὶ ἀνάγει ὁ κυβερνήτης τὴν ναῦν, ὅταν ἀπὸ λιμένος ἐπὶ πέλαγος ἀφ . . . . ἀνάγω καὶ τὸ ὑπομιμνήσκω, οἷον ἀνάγει τῷ βασιλεῖ περὶ αὐτοῦ. ἀνάγω καὶ τὸ εἰς ὕψος ἄγω, οἷον ἀνάγει ταύτην τὴν ὑπόθεσιν, ἀντὶ τοῦ ἀφ' ἡμῶν . . . . Κατάγω τὸ [lege τὴν] εἰς τὸν λιμένα ναῦν, ἐνορμίζω, ὡς καὶ Δημοσθένης· καὶ ἐπὶ Θετταλίαν τὰς ναῦς κατάγοντες ἔτυχον Ἀνδροκλεῖ· ἀφ' οὗ ὄνομα καταγωγὴ, ἡ ἐπὶ τὸν λιμένα προσόρμισις. κατάγει καὶ τὸ καταβιβάζει κυρίως ἀπὸ φυγῆς ὑπερορίας εἰς τὴν . . . . Διάγει δὲ διατρίβει, ἀμετάβατον, ὡς καὶ παρὰ Ξενοφῶντι· μετὰ δὲ τὴν μάχην εἰς ταλίαν [Phavor. v. διάγει p. 481,22. Ἰταλίαν] ἐλθὼν διῆγον ἡσυχῆ [de quo Xenophontis loco cf. Sturz. *Lex. Xen.* T. 1. p. 676] διάγει καὶ τὸ διαβιβάζει μεταβατικῶς αἰτιατικῇ συντασσόμενον, οἷον διάγει τὸ στράτευμα ὁ στρατηγός. καὶ Λιβάνιος· διῆγε μὲν οὖν ὁ βασιλεὺς ἐπὶ τοὺς Πέρσας τὸ στράτευμα. Με-

αὐτοῦ, ἄχρηστοι τοῖς λογογράφοις· ὁ δεύτερος δὲ ἀόριστος, καὶ οἱ ἀπ' αὐτοῦ χρόνοι, ἐν χρήσει.

τάγει τὸ μεθιστῶ καὶ μεταβιβάζει καὶ μετακινεῖ, οἷον μετάγω σε τῆς γνώμης, ἢ τῆς ὁρμῆς, ἀντὶ τοῦ ἀναπείθω· καὶ μετάγω τὸ δεξιὸν κέρας ἐπὶ θάτερον, ὡς παρὰ Ξενοφῶντι [quem locum deprehendere adhuc non potui] ἀντὶ τοῦ μεθιστῶ. Παράγει τι, ἀντὶ τοῦ εἰς μέσον ἤχθη· καὶ παράγει τὸ φενακίζει καὶ ἐξαπατᾷ, ὅθεν καὶ εὐπαράγωγος, ὁ εὐεξαπάτητος, ὡς καὶ Λιβάνιος· δέος γάρ ἐστιν ὦ ἄνδρες δικασταί, μὴ τῇ τούτου σοφίᾳ παραχθέντες, ἀντὶ τοῦ φενακισθέντες καὶ παρακρουσθέντες· καὶ Ἀριστείδης· οὐκ ἐφῶ τοῖς βουλομένοις παράγειν. Ἐπάγει τὸ ἐπιφέρει, μετὰ τὸ πρῶτον καὶ ἄλλο τι, ἢ λόγον ἢ ὕβριν ἢ ἕτερόν τι δευτέραν σχέσιν ἐμφαῖνον, οἷον, προλέγει τις τινὰ ὁτιοῦν· εἶτα ἐπάγει. ἐπάγει καὶ τὸ ἐπιτίθησι κατά τινος πληγάς, ὡς καὶ παρὰ Λουκιανῷ· ἐπῆγε γάρ μοι πολλὰς πληγὰς ἐν βίᾳ, ἀντὶ τοῦ ἐπετίθει καὶ προσέτριβε. Περιάγει τὸ περιέρχεται καὶ περινοστεῖ, ἀμεταβάτως, ὡς καὶ παρὰ Λιβανίῳ· περιῆγε πλανώμενος ἐν Θήβαις. περιάγει καὶ τὸ ἐν κύκλῳ ἕτερον ἄγει, ὡς καὶ Ἀριστοφάνης· περίαγε νῦν τὸν τράχηλον. [in toto Aristophane quod his verbis conferri possit nihil inveni praeter Pac. 683. τὴν κεφαλὴν ποῖ περιάγεις]. Ἀπάγει τὸ μακρὰν πέμπει, καὶ εἰς τοὐπίσω κομίζει καὶ ἀποστρέφει· καὶ ἀπάγει μετὰ αἰτιατικῆς, ἐλλειπτικῶς τῆς αἰτιατικῆς λαμβανομένης, οἷον ἀπάγω τῆς ὁδοῦ ταύτης, ἐμαυτὸν δηλονότι, ἀντὶ τοῦ ἐκτρέπομαι καὶ τὴν ὁδὸν ταύτην ἐῶ· καὶ παρὰ Συνεσίῳ· ἄπαγε τοῦ νόμου, ἀντὶ τοῦ κατάλειψον, ἄφες. Ὑπάγει τὸ ἠρέμα καὶ κατὰ μικρὸν ἄπεισιν· ὑπάγει καὶ τὸ ὑποβάλλει καὶ ὑποτίθησιν, οἷον ὑπάγει σοι λογισμοὺς ὁ ἐχθρός, ἀντὶ τοῦ ὑποβάλλει· καὶ ὑπάγει τὴν κρηπῖδα τῷ τοίχῳ, ἀντὶ τοῦ ὑποτίθησιν. Ἐνάγει καὶ τὸ κινεῖ καὶ τὸ διεγείρει καὶ παροξύνει· καὶ ἐνάγει τὸ διώκει ἐπὶ δικαστηρίου. Εἰσάγει τὸ ἐμβιβάζει, οἷον εἰσάγει ὁ δεῖνα τὸν δεῖνα εἰς δικαστήριον. Ἐξάγει τὸ ἐκβάλλει, οἷον ἐξάγει τῆς πόλεως τὸν στρατόν. Συνάγει τὸ συναθροίζει, ἐπὶ τῶν ὀφρύων ἐμφαντικωτέρως, οἷον συνάγει τὰς ὀφρῦς. Προσάγει τὸ οἰκειοῦται καὶ προσφέρει ἕτερον ἑτέρῳ· καὶ προσάγει τὸ προσέρχεται, ἀμετάβατον. Προάγει τὸ εἰς τοὔμπροσθεν ἄγει, ἢ εἰς τὸ ἔμπροσθεν ἔρχεται.

ἐπιθέτων. μεταβατικὰ μὲν, οἷον ἀδικῶ σε ἀδικίαν μεγάλην. ἰδοὺ γὰρ ἡ ἀδικία ἐκ τοῦ ἀδικῶ προσηγορικόν ἐστι. τὸ δὲ μεγάλην, ἐπίθετον. ἀπειθῶ σοι ἀπειθίαν ἀθεράπευτον. καὶ ἐν τοῖς παθητικοῖς· ἀδικοῦμαι ἀδικίαν περιφανῆ· ἀμελοῦμαι ἀμέλειαν οὐ μικράν. ἀμετάβατα δὲ, οἷον γηρῶ γῆρας σεμνόν. δυστυχῶ δυστυχίαν ἀνήκεστον· βιῶ βίον φιλόσοφον. εἰ δὲ ὡς ὀργάνῳ χρώμεθα τῷ τοιούτῳ προσηγορικῷ, κατὰ δοτικὴν αὐτὸ τότε τρέπομεν, οἷον πλήττω σε ῥάβδῳ, ὁπλίζομαι ὅπλοις.

10. ΑἹΡΟΥ͂ΜΑΙ· τὸ προαιροῦμαι. τὰ προαιρετικὰ ῥήματα δύο συντάξεις ἔχουσι· μίαν μετὰ ἀπαρεμφάτου, οἷον αἱροῦμαι λέγειν, ἐθέλω γράφειν, βούλομαι σπουδάζειν, καὶ τὰ ἑξῆς· ἑτέραν δὲ μετὰ ἐγκλίσεως, οἷον ἐθέλεις ἵνα γράφω, βούλει ἵνα σπουδάζω, καὶ τἄλλα ὡσαύτως. ταύτας τὰς δύο συντάξεις ὁ Ποιητὴς ἐν μιᾷ ἐννοίᾳ τιθεὶς φησιν·

ἦ ἐθέλεις ὄφρ' αὐτὸς ἔχῃ γέρας, αὐτὰρ ἐμ' αὔτως
ἧσθαι δευόμενον;

11. ΑἸΣΘΆΝΟΜΑΙ· τὸ νοῶ, μετὰ μετοχῆς, οἷον αἰσθάνομαι φερόμενος ἔξω τοῦ καιροῦ. εἰ δὲ πρὸς ἕτερον πρόσωπον, μετὰ αἰτιατικῆς συντάσσεται, οἷον αἰσθάνομαί σε ποιοῦντα τόδε. αἰσθάνομαι, τὸ αἴσθησιν λαμβάνω, οἷον αἰσθάνομαι καλῆς ᾠδῆς.

10. ὁ Ποιητὴς] Iliad. α. 133. 132.
11. Phav. h. v. p. 76,25.

ἀλλοτρίᾳ τραπέζῃ. αἰσθάνομαι τόδε καὶ τοῦδε. καὶ αἰσθάνομαί σε ποιοῦντα τόδε.

12. ἈΚΟΥΩ ΣΟΥ· γενικῇ· καὶ ἀκούω σοῦ τῶν λόγων. τὸ ἀκούω τοῦ ἀκροῶμαι διαφέρει. τὸ γὰρ ἀκροᾶσθαι τὴν σπουδὴν τοῦ ἀκοῦσαι ἐμφαίνει· τὸ ἀκούειν δὲ, τὴν αἴσθησιν μόνον τῆς ψυχῆς. ἰστέον ὅτι οἱ Ἀττικοὶ, ῥημάτων τινῶν ἐνεργητικῶς γραφομένων τῶν ἐνεστώτων, οἷον ἀκούω, ἐπαινῶ, γελῶ, θαυμάζω, γινώσκω, καὶ ἕτερα, τοὺς μέλλοντας ἐνεργητικῶς οὐκ ἐκφέρουσιν, ἀλλὰ μέσως. οὐ γὰρ ἀκούσω φασὶ, καὶ ἐπαινέσω, ἀλλὰ ἀκούσομαι, καὶ ἐπαινέσομαι, καὶ γνώσομαι.

13. ἈΛΗΛΙΦΑ, ἨΛΗΛΙΦΕΙΝ· ἈΓΗΟΧΑ, ἨΓΗΟΧΕΙΝ Ἀττικοί εἰσιν ὑπερσυντελικοί. ὅτε ὁ Ἀττικὸς παρακείμενος ἄρχεται ἀπὸ φωνήεντος, τότε αὐξάνει τὴν ἄρχουσαν ὁ ὑπερσυντελικός. σεσημείωται δὲ ἐν τοῖς ἀπὸ φωνήεντος ἀρχομένοις ὁ ἐληλύθειν ὑπερσυντελικός. οὐκ αὐξάνει γὰρ τὴν ἄρχουσαν. καὶ ὁ ἐώλπειν, καὶ ὁ ἐώργειν, καὶ ὁ ἐῴκειν, τῆς πρώτης συλλαβῆς συσταλείσης εἰς τὸ ε̄, τῆς δευτέρας ἐκταθείσης εἰς τὸ ω̄ μέγα.

14. ἈΛΙΝΔΕΙΣΘΑΙ· κυλίεσθαι. ἔστι πρῶτον κυλίω, καὶ τροπῇ τοῦ ῡ εἰς ᾱ, καὶ ἀποβολῇ

12. Phav. h. v. p. 96,26.
13. Breviora idem h. v. p. 113,46.
καὶ ὁ ἐῴκειν] E Phav. καὶ ὁ Burneius addidit.
14. Phav. h. v. p. 116,24. Aristophanis locus est Nub. 32.

τοῦ κ, ἀλίω, ἀλίσω, ἥλισα, ἀλίσαι. Ἀριστοφάνης·

ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε,

ἀντὶ τοῦ κυλίσας. τὸ δὲ ἀλίω γίνεται ἀλίνδω, ὡς κυλίνδω, καὶ ἐν περισπωμένῃ τάσει ἀλινδῶ, ἀλινδήσω· ὅθεν καὶ ἀλινδήθρα, ἡ κυλίστρα.

15. ἉΛΙ'ΣΚΕΤΑΙ· γενικῇ συντάσσεται· ἔστιν ὅτε παρ' Ἀττικοῖς καὶ δοτικῇ. ἁλίσκομαι, ἐνεστώς· ἡλισκόμην, παρατατικός· ἁλώσομαι, μέλλων· ἑάλωκα, παρακείμενος· ἑάλων, ἀόριστος δεύτερος. ἁλίσκω σημαίνει καὶ τὸ ἀγρεύω, κυρίως μὲν ἐπὶ θαλάσσης, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. ἀναλίσκω δὲ, τὸ δαπανῶ· ὅθεν καὶ τὸ καταναλίσκω.

16. ἈΛΛΑ'ΤΤΟΜΑΙ ΤΟΥ͂ΔΕ ΤΟ'ΔΕ· ἤγουν διὰ τοῦδε, ὡς τὸ ὠνοῦμαι τόδε τοῦδε. ἐναλλάττειν δὲ, τὸ μετατιθέναι τὴν τάξιν ἀντιστρόφως· ὅθεν καὶ ἐναλλὰξ ἐπὶ τῶν ποιούντων ἐναντίως λέγεται.

15. Phav. h. v. p. 117,34.

16 Phav. h. v. p. 122,3.

ἈΛΛΑ'ΤΤΟΜΑΙ — ἤγουν διὰ τοῦδε] De hoc Genitivi usu, ubi vulgo ἀντὶ supplent, post alios egregie disputavit iuvenis praestantissimus mihique amicissimus F. W. Ullrich in Notis ad Platonis Menon. p. 94. C. (Vier Platonische Gespräche u. s. w. p. 191.) Vide etiam supra §. 49.

ἐναλλάττειν δὲ] In Cod. est γὰρ, quod Burn. correxit: Phavorinus neutrum habet.

ἐναλλὰξ] Voce usus est Aristides Orat. Plat. T. 2. p. 259.,

17. Ἄλλομαι· τὸ πηδῶ, δασύνεται. ἆλτο δὲ, εἰ καὶ ἀπ' αὐτοῦ, ψιλοῦται· τάχα μὲν καὶ ὡς Αἰολικόν. μάλιστα δὲ, κατὰ τοὺς παλαιοὺς, διὰ τὴν τοῦ τ̄ ἐπιφοράν. τὸ γὰρ ᾱ λῆγον εἰς λ̄, ἐπαγομένου ἑνὸς τῶν τῆς τρίτης συζυγίας συμφώνων, ἤγουν τοῦ δ̄, ἢ θ̄, ἢ τ̄, ψιλοῦται, οἷον ἀλδαίνω, τὸ αὔξω· καὶ ἀλθαίνω, τὸ θεραπεύω· καὶ ἆλτο, ἀντὶ τοῦ ἐπήδησεν.

18. Ἀλύειν· τὸ ἀπορεῖν καὶ ἀδημονεῖν, καὶ οἷον ἐκλελύσθαι. ὅτι δέ ποτε καὶ ἐπὶ τοῦ ἀνάπαλιν τίθεται, ἐν ἄλλοις εὑρίσκεται. ἢ ἀλύειν, τὸ χαίρειν· παρὰ τὸ ἄγαν λελύσθαι καὶ διακεχύσθαι. καὶ ἀλύειν, τὸ ἐν ἄλῃ δυσφορεῖν. σημαίνει δὲ ἐνίοτε καὶ τὸ γεγηθέναι, ἀπὸ τῆς ἀλέας καὶ διαχύσεως. Ὅμηρος·

nec rem de lectionis varietate ἐπαλλὰξ et ἐναλλὰξ in Xenoph. de re equestr. 1,7. et Polluc. 1,190. crediderim ab omni parte actam iam esse.

17. Phav. h. v. p. 124,28. Loca Homeri, quae ἆλτο attinent, collegit Dammius *Lex. Hom.* p. 88.

τοῦ τ̄] Cod. et Phav. τούτων.

18. Phav. h. v. p. 129,7. Cf. Schol. Sophocl. Electr. 127. p. 157. Erf.

Ἀλύειν· τὸ ἀπορεῖν καὶ ἀδημονεῖν] R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 200. Hippocratem confert περὶ παρθεν. §. 4. ὑπὸ δὲ τῆς κακίας τοῦ αἵματος ἀλύων καὶ ἀδημονίων ὁ θυμὸς κ. τ. λ. Hanc vocis significationem illustrarunt Schol. Euripid. Orest. 267. Matth. d'Orvill. ad Charit. p. 227. Lips. Boissonad. ad Philostr. Her. p. 332.

Ὅμηρος] Odyss. σ, 332. 392.

ἡ ἀλυεὶς, ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην· ὅθεν καὶ δασύνεται· ψιλοῦται δ' ὅμως παρὰ πᾶσιν, ὡς ἐκ συναλοιφῆς.

19. ἉΜΑΡΤΆΝΕΙΝ δίχα μὲν προθέσεως, κοινῶς λέγεται καὶ ἀμεταβάτως καὶ μεταβατικῶς· ἀμεταβάτως μὲν, ὅτε δηλοῖ τὸ πλείω ἁμαρτίαν ἐργάζομαι, ὡς τὸ, ἥμαρτον εἰς τὸν θεόν. μεταβατικῶς δὲ, ἀντὶ τοῦ ἀποτυγχάνω, συντασσόμενον γενικῇ, οἷον ἥμαρτον τοῦ σκοποῦ. καθὸ καὶ ἤμβροτες ποιητικῶς, ἀντὶ τοῦ ἀπέτυχες. μετὰ δὲ προθέσεως, γράφεται Ἀττικῶς. μετὰ μὲν οὖν τῆς διὰ, δηλοῖ τὸ ἀποτυγχάνω, συντασσόμενον γενικῇ, καθὰ καὶ τὸ ἥμαρτον, οἷον διήμαρτον τῆς ἀξίας. μετὰ δὲ τῆς ἐκ, τὸ πταίειν, κυρίως ἐπὶ θεοῦ λεγόμενον. ὃ καὶ ἀμετάβατον, οἷον ἐξήμαρτον εἰς θεὸν, ἐξύβρισα εἰς ἀνθρώπους.

20. ἈΜΕΊΒΩ· τὸ ἀλλάττω, ὡς τὸ ἀμείβω τὸ χρῶμα. ἀμείβω καὶ τὸ πορεύομαι, ὡς τὸ ἀμεί-

19. Phav. h. v. p. 135,59., unde in seq. μετὰ δὲ τῆς ἐκ priorem voculam Philemoni pro διὰ restitui: quas praepositiones non facile in MSS. commutatas memini.

20. Id. p. 138,20.

τὸ ἀμείβω τὸ χρῶμα] Pro ἀλλάττω, quod est in Cod., Burneius Phavorini lectionem ἀμείβω reduxit: licet Eumathius de amor. Ism. 11. p. 502. τοῖς χρώμασι ἀλλάττεσθαι vere dixerit. Schol. Sophocl. Aiac. 1073. p. 419. Erf. ἐξαλλάττειν τὸ ἀμείβειν καὶ ἀλλοιοῦν, οἷον ἐξαλλάττει τις τὸ χρῶμα, ἤγουν ἀμείβει. Lexicon ined. cod. Reg. Paris. 2562. fol. 207. recto: Ἀμείβειν λέγεται καὶ ἀντὶ τοῦ ἀλλάττειν, ὡς παρὰ Ἰουλιανῷ πρῶ-

βω τὴν ὁδόν. καὶ τὸ ἀντικαταλλάσσω. ὡς καὶ Ὅμηρος·

ὃς πρὸς Τυδείδην Διομήδεα τεύχε' ἄμειβεν.

ἀμοιβαῖς γὰρ οἱ παλαιοὶ ἐχρῶντο, καὶ οὐ νομίσμασιν. καὶ παρ' Ὁμήρῳ τρανῶς τοῦτο φαίνεται. ὡς ἐν τῷ·

ἔνθεν ἄρ' οἰνίζοντο καρηκομόωντες Ἀχαιοί,
ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ,
ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ' αὐτοῖσι βόεσσιν.

ὃ καὶ παθητικῶς παρὰ τοῖς ῥήτορσι λέγεται, οἷον ἀμείβεται τὰ ὤνια πρὸς χρυσίον, ἐπὶ πάθους λαμβανόμενον. ἀμείβομαι καὶ τὸ περιβέβλημαι, καὶ ἀμπέχομαι. καὶ ἀμείβομαί σε λόγοις, ἢ δώροις, ἀντὶ τοῦ ἀποδίδωμι καὶ ἐκτίνω, καὶ τὸ ἀντιχαρίζομαι· ἐξ οὗ ἀμοιβή.

21. ἈΜΕΡΔΕΙΝ· τὸ ἀποστερεῖν καὶ ἀμαυ-

τος εἰσῄει Τιβέριος πολλὰ ἀμείβων χρώματα ὥσπερ ὁ χαμαιλέων. ἀμείβειν λέγεται καὶ ἀντὶ τοῦ διέρχεσθαι καὶ διαβαίνειν, οἷον πολλοὺς τόπους ἀμείβει, ἀντὶ τοῦ διέρχεται· ὡς παρὰ Θουκυδίδῃ. καὶ τὴν ἐν στενῷ τῶν Κορινθίων θάλατταν ἀμείψαντες. Ἐξαμείβειν δὲ τὸ ἐκφεύγειν καὶ ἀπέρχεσθαι, ὡς παρ' Εὐριπίδῃ [Orest. 266. P.] εἰ μὴ χωρὶς ὀμμάτων ἐμῶν ἐξαμείψει, ἀντὶ τοῦ ἐκφύγῃ.

Ὅμηρος] Iliad. ζ, 235. In Cod. ὃς deest, a syllaba praecedenti interceptum. A verbis mox sequentibus ἀμοιβαῖς γὰρ οἱ παλαιοὶ usque ad finem edidit Boissonad. ad Philostrat. Heroic. p. 300.

ἔνθεν ἄρ' οἰνίζοντο etc.] Iliad. η, 472. sq. In Cod. deerat καρηκομόωντες.

21. Phav. h. v. p. 139,28.

ρουν· ὅ ἐστι τοῦ μέρδειν, ἤτοι τοῦ βλέπειν, ἀποστερεῖν. οὗ τὸ ἐναντίον σμέρδειν, τὸ ἄγαν βλέπειν, ὃ καὶ διὰ τοῦ ζ ζμέρδειν παρὰ τοῖς παλαιοῖς. καὶ ζμερδνὸν κυρίως τὸ τῇ ὄψει καταπληκτικόν. σημείωσαι δὲ ὅτι οὐ μόνον τὸ ζμέρδειν, ἀλλὰ καὶ ἕτεραι λέξεις ἐν ἀρχῇ προέφερον τὸ ζ, ὡς αὐτὰς ἐν τῷ περὶ διαλέκτων εὑρήσεις. καὶ ἀμέρσαι ἀντὶ τοῦ μερίδος στερῆσαι. κυρίως δὲ ἐπὶ τυφλότητος λέγεται, ὡς τὸ, ὀφθαλμῶν μὲν ἄμερσεν. καὶ ἐπὶ ζοφώσεως, οἷον ὄσσε δ' ἄμερσεν αὐγὴ χαλκείη. καὶ ἀμέρσαι, ἀμαυρῶσαι. καὶ ἄμερσεν, ἀντὶ τοῦ ἄμοιρον ἐποίησεν.

22. ἈΜΥΝΕΙΝ· ἐνεργητικῶς μὲν, δηλοῖ τὸ ἀποσοβεῖν τοὺς πολεμίους, ἤτοι βοηθεῖν τοῖς πο-

ὅ ἐστι τοῦ] Fuisse suspicor ὅ ἐστι τὸ τοῦ.

τοῖς παλαιοῖς] Phav. τοῖς Ἀχαιοῖς: quem arbitror dedisse τοῖς ἀρχαίοις, quae vocabula inter se confundi ad §. 267. monitum est.

ὡς αὐτὰς ἐν τῷ περὶ διαλέκτων εὑρήσεις] Philoxeni intelligi librum, in Epimetro II. explanavimus. Phav. ὡς ἀλλαχοῦ ἱκανῶς δεδήλωται.

ὀφθαλμῶν μὲν ἔμερσεν] Odyss. θ, 64. Mox ὄσσε δ' [Cod. δὲ] ἄμερσεν etc. est Iliad. ν, 340., ubi ἄμερδεν hodie editur.

22. Phav. h. v. p. 147,45. R. W. in *Mus. Crit. Cantabr.* vol. 1. p. 128. haec ad verbum monet a Georgio Lecapeno in Villoisoni Anecd. Graec. T 2. p. 79. not. reddi. Schol. ined. Aelian. H. A. 1,7. cod. Paris. 1698 fol. 83. *verso*: Ἀμύνω τὸ βοηθῶ καὶ ἐκδικῶ· ἀμύνομαι δὲ τὸ τιμωροῦμαι, κολάζω. Lexicon ined. SGM. cod. Paris. Reg. 177. fol. 11. *recto*: Ἀμύνεσθαι: Θουκυδίδης μὲν ἀντὶ τοῦ ἀμείβεσθαι· Σιμωνίδης δὲ ἀντὶ τοῦ χάριτας ἀποδίδοναι. Σοφοκλῆς δὲ ἀντὶ τοῦ ἀπαλεξῆσαι. κυρίως γοῦν τὸ ἀμύνομαι ἐπὶ τῶν προηδικημένων καὶ ἐς μάχην με-

λεμουμένοις, συντασσόμενον αἰτιατικῇ, ὡς τὸ, ἀπὸ λοιγὸν ἀμῦναι. καὶ τὸ πολὺν ἤμυνε τῷ σώματι κίνδυνον. παθητικῶς δὲ, ἀμύνομαι, τὸ, παθὼν ἔκ τινος δεινὰ, ἀνταποδίδωμι τὰ ἴσα, ἤτοι τιμωροῦμαι. τὸ δὲ ἀμύνειν νηυσὶ πῦρ, κατὰ τὸ πλῆρες πέφρασται. καθὰ καὶ τὸ, ἀλεξήσας κακὸν ἦμαρ. Θουκυδίδης τὸ ἀμύνεσθαι, τὸ κολάζειν, ἀντὶ τοῦ ἀμείβεσθαι. Σιμωνίδης, ἀντὶ τοῦ χάριτας ἀποδοῦναι. Σοφοκλῆς, ἀντὶ τοῦ ἀπαλεξῆσαι.

23. ἈΜΥ͂ΣΣΕΙΝ· τὸ ταράσσειν, καὶ ἑλκοῦν, καὶ ξέειν, καὶ σπαράσσειν, ποτὲ μὲν τοῖς ὄνυξιν, οἷον ἀμύττων τὰς παρειάς. ἐκ τούτου ἡ ἀμυχὴ, ὡς τὸ, ἀμυχὰς ξεσμάτων. καὶ τὸ ἄμυγμα, οἷον

τὰ τοῦτο κεκινημένων λέγεται· ἀμύνω δὲ ἐνεργητικῶς τὸ βοηθῶ, καὶ ἀμύνειν ἀντὶ τοῦ βοηθεῖν.

ἀπὸ λοιγὸν ἀμῦναι] Iliad. α, 67. π, 75. 80. E Cod. ediderat Burn. λοιμὸν, quod ad exemplar Homericum correximus, adstipulante Lexico ined. cod. Paris. Reg. 2562., ubi fol. 204. *recto* Philemonis verba fere repetuntur.

ἀλεξήσας κακὸν ἦμαρ] In Iliad. ι,251. habes ἀλεξήσεις κακὸν ἦμαρ, unde Philemo corrigendus videtur. Quod enim Iliad. υ, 315. et φ, 347. legitur, a Codicis lectione nimium recedit.

Θουκυδίδης etc.] Locus Thucydidis est 1,42., unde corriguntur Suidas T. 1. p. 146. et Auctor lexici SGM. in *Bibl. Coislin.* p. 231., eodem modo hinc repetitus a Brunckio *Lex. Sophocl.* v. ἀμύνασθαι p. 705.: utroque enim loco vitiose ἀμύνασθαι pro ἀμύνεσθαι.

Σοφοκλῆς] Locus hic e deperdita eius fabula depromi videtur.

23. Phav. h. v. p. 148,21.

ψεν. καὶ ἀμφιβέβηκας, περιέχεις· ἀπὸ τῶν ὑπερασπιζόντων ἐν πολέμῳ τῶν τετρωμένων, ἢ πεφονευμένων· τῶν μὲν, ἵνα μὴ συληθῶσι· τῶν δ', ἵνα μὴ φονευθῶσι. καὶ τὸ περιέρχεσθαι, ὡς τὸ, ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει. ὁμοίως δὲ καὶ Εὐριπίδης ἐν τῷ, πολὺν τάραγμον ἀμφιβάντες εἶχον μάχης, ἤγουν ἀμφοτέρωθεν βάντες.

28. ἈΜΦΙΈΝΝΥΜΑΙ· τὸ ἐνδύομαι. ἐνεστὼς κοινός. ἀπὸ τοῦ ἕω, ὡς ἀπὸ τοῦ ἄγω, τὸ κλῶ, τὸ ἄγνυμαι· καὶ τοῦ ὄρω, ὄρνυμαι. μέλλων ποιητικὸς μὲν ἕσομαι, ἀπὸ τοῦ ἕω ἀχρήστου· κοινὸς δὲ, ἀμφιέσομαι, μετὰ τῆς προθέσεως ἀεί. ὁ ἀόριστος ποιητικῶς μὲν ἑσάμην· κοινῶς δὲ, ἠμφιεσάμην. καὶ ἀμφιάσομαι, καὶ ἠμφιασάμην, ἐπὶ τῶν αὐτῶν παρὰ τοῖς κοινοῖς, ὡς ἀπὸ τοῦ ἀμφιάζω. καθὸ καὶ ἄμφια τὰ περιβλήματα λέγεται. παρακείμενος μὲν ποιητικὸς εἶμαι, ἀφ' οὗ καὶ εἱμένος καὶ ἐπιειμένος, ἀπὸ τοῦ εἴω ἀχρήστου. ἀπὸ τούτου γὰρ ἕημι ἄχρηστον, κατὰ ἀκολουθίαν μέντοι τοῦ τίθημι. ἤγουν εἴω, ὡς θείω· καὶ ἀπὸ τούτου εἶμαι, καὶ εἶμα, τὸ ἔνδυμα ποιητικῶς.

29. ἈΜΦΙΣΒΗΤΕΙ͂Ν· τὸ ἀμφιλογεῖν, ἀπὸ τοῦ ἀμφὶς, καὶ τοῦ βάζειν. πολλάκις δὲ πλεονά-

Εὐριπίδης Phoen. 1421. Pors. ubi ἀμφιβάντ'.

28. Phav. h. v. p. 153,41.

ἠμφιεσάμην] Cod. et Phav. ἠμφιασάμην: contra iidem mox ἠμφιεσάμην pro ἠμφιασάμην.

29. Phav. v. ἀμφισβητοῦντες. p. 157,19.

ζει τὸ β, ὡς ἐν τῷ Ἄδηρον, Ἄβδηρον· καὶ σίδα, σίβδα. ἢ παρὰ τὸ ἀμφὶς ἐπίῤῥημα, τὸ κεχωρισμένως βαίνειν. τοιοῦτοι γὰρ οἱ διστάζοντες. γενικῇ συντάσσεται, οἷον ἀμφισβητῶ σοι τῆς ἀρχῆς, καὶ περὶ τῆς ἀρχῆς.

30. ἈΝΑΒΑΙ'ΝΕΙ· ἐπὶ θέσεως τόπου, μετὰ προθέσεως λέγεται, οἷον ἀναβαίνει πρὸς δικαστή-

30. Id. h. v. p. 160,50. Fuse de h. v. disputatur in Lexico ined. Cod. Reg. Paris. 2562. fol. 209. *recto:* Ἀναβαίνει τὸν ἵππον, συντασσόμενον αἰτιατικῇ· καὶ ἀναβάτης ἐπὶ ἵππου· ἀναβαίνει καὶ τὴν γυναῖκα ἐπὶ ἀφροδισίων. Καταβαίνει τοῦ ὑπερῴου· καὶ καταβαίνει τοῦ ἵππου καὶ οἴκου. Διαβαίνει κυρίως ἐπὶ ποταμοῦ, καὶ ἀπὸ τούτου διάβασις· ὡς καὶ παρ' Ἀριστείδῃ [Panathenaic. T. 1. p. 123. ed. Jebb.]· οἱ μὲν ἄλλοι πάντες Ἕλληνες καὶ πάλαι [in editis additur pone h. v. προϊδόντες, de qua voce iam dubitare licet, ne e margine irrepserit] τὴν διάβασιν καὶ τότε ὁρῶντες. Διαβαίνει, καὶ τὸ ἁπαλῶς ἔρχεται· οἷον τοῦτο τὸ ὑβρίζεσθαί με καὶ πρός σε διαβαίνει. Μεταβαίνει τὸ μεθίσταται καὶ μετατίθεται· οἷον, μεταβαίνει τὸ κράτος πρὸς τὸν Ἰουλιανόν. Παραβαίνει τὰς σπονδὰς καὶ παραβαίνει τοὺς νόμους καὶ τὰ συντεθειμένα, ὡς καὶ Ξενοφῶν· καὶ παραβαίνει μὲν Ἀριαῖος τὰς μεθ' ἡμῶν σπονδάς [quem Xenophontis locum nondum reperire potui]. Παραβαίνει δὲ καὶ τὶ σαφέρον [sic: suspicor Τισαφέρνην] καὶ βασιλεύς. Παραβαίνει, τὸ μεταβαίνει· καὶ παράβασις ἡ ἐξ ὑποθέσεως πρὸς ὑπόθεσιν μετάβασις. Ἀντιβαίνει τὸ ἀντιτείνει καὶ ἀντερείδει, ὡς καὶ παρὰ Λουκιανῷ [Catapl. 4. T. 1. p. 624.] ὅδε κατὰ τὴν ὁδὸν πᾶσαν ἀντέβαινε καὶ ἀντέσπα [hinc mutilus Luciani locus egregie et sanatur et completur]. Ἐπιβαίνει ταὐτὸ σημαίνει τὸ [lege τῷ] ἀναβαίνει, καὶ ἐπὶ ἵππου καὶ ἐπὶ γυναικὸς λεγόμενον, πλὴν τὸ μὲν ἀναβαίνει συντάσσεται μόνῃ αἰτιατικῇ, τὸ δὲ ἐπιβαίνει γενικῇ καὶ δοτικῇ. καὶ ἀπὸ μὲν τοῦ ἀναβαίνειν λέγεται ἀναβάτης ἐπὶ ἵππου· τὸ δὲ ἐπιβάτης λέγεται καὶ ἐπ' ἀμφοτέρων, ἤγουν ἐπὶ ἵππου καὶ ἐπὶ νηός,

ριον, καὶ ἐπὶ τὸ βῆμα. λέγεται ἀναβαίνει καὶ ἐπὶ ὀχείας ἀλόγων ζώων. καὶ ὥσπερ ἀναβαίνειν, οὕτω καὶ ἀνάγεσθαι, τὸ ἐκ τοῦ λιμένος ἀναπλέειν οὐ τὸ ἀνάπαλιν καταπλέειν, καὶ κατάγεσθαι, ὡς ἄνω γῆς κειμένου καὶ οὕτως ἀναβαινομένου τοῦ πλεομένου ὕδατος. Ὅμηρος

οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,

ἐπὶ τὴν ναῦν δηλονότι· εἰ γὰρ τὴν ἀπὸ τοῦ λιμένος ἐπὶ τὸ πέλαγος ἤθελε δηλοῦν ἀναγωγὴν, ἀναχθέντες ἂν ἔλεγε. τὸ γὰρ ἀναβάντες τὴν διὰ τῶν ποδῶν σημαίνει ἀνάβασιν. καὶ ἔτι ἀναβαίνειν ἐλέγετο τὸ ἐπὶ τὸ λογεῖον εἰσιέναι· καταβαίνειν δὲ, το ἀπαλλάττεσθαι ἐντεῦθεν, ἀπὸ τοῦ παλαιοῦ ἔθους.

31. ἈΝΑΒΆΛΛΩ. σημαίνει τέσσαρα· τὸ προοι-

ὡς καὶ Συνίσιος· ὄντες ἐπιβάται πλεῖν ἢ πεντήκοντα. Καὶ ἀναβαίνει μὲν πρὸς δικαστήριον καὶ ἐπὶ βῆμα· ἐπιβαίνει δὲ, ὡς καὶ παρὰ Δημοσθένει· τὸ τινὸς φρόνημα λαβόντας ἀναβαίνειν ἐπι βῆμα. Ἀποβαίνει τῆς νηὸς, καὶ ἀπόβασις ἡ ἀπὸ νηὸς πρὸς χέρσον μετάβασις· ὡς παρὰ Θουκυδίδῃ [3,7.]· καὶ ἀπόβασιν ἐς Νηρικὸν ποιησάμενος. ἀποβαίνει καὶ τὸ ἀπέρχεται, ὡς παρ' Ὁμήρῳ [Iliad. ζ, 116.]

ὣς ἄρα φωνήσας ἀπέβη κορυθέολος [sic!] Ἕκτωρ.

ἀνοήτων] E Phav. ediderat Burneius ἀλόγων.

Ὅμηρος] Iliad. α, 312.

31. Phav. h. v. p. 161. Lexicon ined. Cod. Reg. Paris. 2562. de h. v. eiusque compositis haec tradit non spernen-

προοιμιάζω, ὡς τὸ, ἀνεβάλλετο καλὸν ἀείδειν. καὶ

da: Ἀναβάλλεσθαι τὸ πρᾶγμα ἀντὶ τοῦ ῥαθυμοῦντα ὑπερτίθεσθαι, ὡς καὶ Ἡσίοδος [O. et D. 410.]

μηδ᾽ ἀναβάλλεσθαι ἔς τ᾽ αὔριον, ἔς τ᾽ ἔννηφιν.

ἀναβάλλεσθαι καὶ τὸ περιβάλλεσθαι καὶ ἐνδύεσθαι, ὡς τό. ἀναβαλλόμενος φᾶς ὡς ἱμάτιον. Καταβάλλειν τὸ κατατίθεσθαι μισθόν· καὶ ἀντὶ τοῦ ἁπλῶς παρέχειν· καὶ καταβάλλειν τὸ φθείρειν καὶ ἐπὶ πολιορκίας τὴν πόλιν ῥίπτειν· καταβάλλεται καὶ τὸ ἀργύριον αὐτό· καὶ βαλλόμενα τὰ ἀργύρια παρὰ τῇ θείᾳ γραφῇ· καὶ καταβάλλεσθαι ἐπὶ πάθους, ὅταν οὐ δύνηταί τις ἀντερείδειν πολεμούμενος. Διαβάλλειν τὸ διαβαίνειν καὶ διαπερᾶν· οἷον, μακρὰ διαβάλλει πελάγη, ἀντὶ τοῦ διαπερᾷ καὶ διέρχεται· κατ᾽ ἀναλογίαν, ὥσπερ λέγομεν· καὶ ὑπερβάλλειν καὶ ὑπερβαίνειν. Διαβάλλειν τὸ διασύρειν καὶ φαυλίζειν, ὡς Λιβάνιος· καὶ μὴ διαβαλλέτω τὴν ἐκ πολέμου λαμπρότητα. διαβάλλειν καὶ τὸ κατηγορεῖν τινὸς μὴ παρόντος [cod. παρόντως]· διαβάλλομαι δὲ ἐπὶ πάθους ἀεί. Μεταβάλλειν τὸ ἀλλοιοῦν· λέγεται δὲ ἐπὶ πάθους ἀντὶ τοῦ ἀλλοιοῦσθαι, οἷον μεταβάλλω τὸ χρῶμα, ἀντὶ τοῦ ἀλλοιοῦμαι· καὶ μεταβάλλω τὸν δεῖνα κακοῦργον ὄντα, ἀντὶ τοῦ μεταποιῶ. μεταβάλλομαι δ᾽ ἐγὼ ἐπὶ πάθους. Παραβάλλειν τὸ συγκρίνειν καὶ παρατιθέναι, συντασσόμενον ἀπὸ δοτικῆς εἰς αἰτιατικήν, οἷον παραβάλλω τῷ Μωυσεῖ τὸν βαπτίστην. παραβάλλειν καὶ τὸ ὁρμᾶν, καὶ πρὸς τὸν δεῖνα πορεύεσθαι. Ἐπιβάλλειν τὸ ἐπιχειρεῖν, καὶ ἐπιβάλλεσθαι ὁμοίως ἐπὶ τοῦ αὐτοῦ, ὡς καὶ Συνέσιος· ἡμεῖς μὲν οὖν περὶ τῆς δι᾽ ὀνειράτων μαντικῆς ἐπιβαλλόμενοι λέγειν, ἀντὶ τοῦ ἐπιχειροῦντες καὶ ἀρχὴν ποιούμενοι. ἐπιβάλλειν καὶ τὸ προσήκειν καὶ ἁρμόττειν, οἷον τόδε τὸ κτῆμα ἐπιβάλλει μοι πρόσθεν, ἀντὶ τοῦ ἁρμόττει καὶ προσήκει· καὶ δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας, ἀντὶ τοῦ τὸ ἀνῆκόν μοι. Περιβάλλω τὸ ἐνδύω, συντασσόμενον ἀπὸ δοτικῆς εἰς αἰτιατικήν, οἷον περιβάλλω σοι τὰ ἱμάτια· καὶ ἀπὸ αἰτιατικῆς εἰς δοτικήν, οἷον περιβάλλω σε τοῖς ἱματίοις. περιβάλλεσθαι καὶ τὸ ἐνδύεσθαι, ταὐτὸ συντεῖνον [f. σημαῖνον] τῷ ἀναβάλλεσθαι. Ἀναβάλλομαι καὶ ἐπὶ τῆς ἄνω σχέσεως· ὅταν τὸν ποδήρη ἐπὶ τῶν ὤμων τιθείς τις, ἤγουν ἐπάνω τῶν ὤμων ἀκωλύτως διενεργῇ, ὡς παρὰ τῷ Ἰωσήπῳ· ὁ δ᾽ ἀναβαλλόμενος ἐπὶ τῶν λαιῶν ὤμων τὴν ἐσθῆτα φορεῖ. Ἀποβάλλειν τὸ

ἀναβάλλομαι, τὸ ἀνακρούομαι. καὶ ἀναβάλλω, τὸ ἀναπέμπω, ὡς τὸ, οἱ μὲν τέττιγες μουσικὴν ἀνε-

ρίπτειν καὶ ἀφιένει, ὡς καὶ παρ' Ὁμήρῳ· ἀποβαλὼν χλαῖναν φοινικόεσσαν [Odyss. ξ, 500.

καρπαλίμως, ἀπὸ δὲ χλαῖναν θέτο φοινικόεσσαν,

quem locum a Grammatico spectari propterea maxime arbitror, quod in Cod. Odysseae Harleiano βάλε exstat cum glossa γρ. θέτο, nisi mavis huc etiam trahere Odyss. φ, 118.

ἦ, καὶ ἀπ' ὤμοιϊν χλαῖναν θέτο φοινικόεσσαν,

ubi olim eodem modo lectum fuisse ut in altero loco magna mihi est suspicio]· καὶ ἀποβάλλεσθαι πολλάκις ἐπὶ τῦ αὐτῦ. ἔστι δ' ὅτε τὸ ἀποβάλλεσθαι λέγεται Ἀττικῶς καὶ τὸ μετὰ βίας στέρεσθαί τινος, οἷον ἀπεβάλετο τὸν ὀφθαλμὸν νόσῳ· καὶ ἀπέβαλε τὸν πατέρα θανάτῳ· ὡς παρὰ τῷ πατριάρχῃ Γρηγορίῳ· τὴν γυναῖκα θανάτῳ ἀποβαλών. Ὑποβάλλειν τὸ εἰσηγεῖσθαι καὶ παραινεῖν, ἤγουν [corrige οἷον] ὑποβάλλω τῷ δεῖνι λογισμὺς ἀγαθύς· ἢ καὶ ἐναντίως ἐπὶ τῦ αὐτῦ. λέγεται δὲ καθυποβάλλειν τὸ πολλάκις ὑποβάλλειν, καὶ τὸ ὑπέχειν καὶ ὑφιέναι, οἷον ὑποβάλλω μυ τὰ ὦτα τοῖς λόγοις συ. ὑποβάλλεσθαι δὲ οὐ λέγεται παρ' Ἀττικοῖς. Ἐμβάλλειν λέγεται τὸ ἀπαντᾶν ἁπλῶς· καὶ ἐμβάλλειν τὸ συμμιγνύναι, ἐπὶ πολέμυ κυρίως. Εἰςβάλλειν λέγεται καὶ τὸ εἰςρεῖν, οἷον εἰςβάλλυσιν ἐπὶ τοῦ αὐτοῦ [corrige τὸν αὐτὸν] οἱ ποταμοὶ, ὡς Θυκυδίδης· διὰ δὲ τῆς Θεσπρωτίδος Ἀχέρων ποταμὸς ῥέων εἰςβάλλει εἰς αὐτὴν, ἀντὶ τοῦ εἰςχέει. εἰςβάλλειν λέγεται ἐπὶ πολέμυ, ὡς αὐτὸς Θυκυδίδης· οἱ Πελοποννήσιοι καὶ οἱ σύμμαχοι ἐπὶ τῦ αὐτῦ χειμῶνος εἰςέβαλλον εἰς τὴν Ἀττικήν. Ἐκβάλλειν τὸ ἀποσείεσθαι· καὶ ἐκβάλλειν τὸ ἐκπέμπειν καὶ ἐξορίζειν. ἐκβάλλειν καὶ τὸ ἀποκηρύττειν, οἷον ἐκβάλλω σε τοῦ κλήρου, ἀντὶ τοῦ ἀποκηρύττω. Συμβάλλειν τὸ συναντᾶν, κυρίως ἐπὶ πολέμυ ταττόμενον. Προςβάλλειν τὸ προςαράττειν [num προςταράττειν?] καὶ συγκρούειν ἐπὶ μάχης· καὶ προςβάλλει τὸ κῦμα τῇ νηΐ. Προβάλλειν τὸ προτείνειν· ἐπὶ τοῦ αὐτοῦ δὲ καὶ τὸ προβάλλεσθαι· ἀφ' ὗ καὶ τὸ πρόβλημα. Προβάλλεσθαι καὶ τὸ προςφασίζεσθαι [lege προφ.]· οἷον τοῦ μὴ εἰς δικαστήριον ἀπελθεῖν αἴτιον πρυβάλλετο νόσον.

ἀνεβάλλετο καλὸν ἀείδειν] Odyss. α, 155.

βάλλοντο σύντονον. τὸ ἐνδύομαι, ὅθεν ἀναβολή. καὶ τὸ ἀπαρνοῦμαι, ὡς τὸ, ἀναβάλλομαι τοῦδε τοῦ πράγματος. καὶ ἀναβάλλομαι τὸ πρᾶγμα, ἀντὶ τοῦ ῥαθυμῶν ὑπερτίθεμαι, αἰτιατικῇ. καὶ ἀναβάλλεται τὸ ὕδωρ διὰ σωλήνων, ἢ κίονος, ἢ οὕτω πῶς ἀναβαῖνον, ἢ ἄλλως ἀναπηδῦον, ὡς δηλοῖ παρὰ Καλλιμάχῳ τὸ, κρήνη λευκὸν ὕδωρ ἀνέβαλλεν, ἀναπηδύον δηλαδὴ καὶ ἀναβλύζον. καὶ μύρμηκες δὲ ἀναβάλλουσιν κάτωθεν χοῦν, ὅπερ ἐναντίον τῷ καταβάλλειν ἐστὶν, ἤτοι κάτω βάλλειν, τουτέστι ῥίπτειν. καὶ ἀναβάλλειν οὐ μόνον τὸ ἀνάγειν· ἐξ οὗ καὶ λέβης ἀμβολάδην ζέων· καὶ ἀμβλήδην γοόωσα· καὶ ἀμβλώσκειν καὶ ἀμβλῶσαι, ἀφ' ὧν καὶ

τὸ ἐνδύομαι, ὅθεν ἀναβολή] Grammaticus ined. cod. Paris. Reg. 1698. fol. 89. *verso:* Ἀναβάλλομαι καὶ τὸ ὑπερτίθεμαι καὶ τὸ ἐνδύομαι· ἐξ οὗ καὶ ἀναβολὴ, ἡ περιβολή· καὶ τὸ μέλπω, ὡς τὸ, ὅδ' ἀνεβάλλετο καλὸν ἀείδειν, ποιητικῶς ἀντὶ τοῦ ἔμελπε καλὴν ἀοιδήν: quo in loco nihil paene notabile videtur praeter quod supra vocem ἐνδύομαι ab eadem manu additum sit Ἀλεξανδρηνικόν: neque vox significatione illa aliunde mihi adhuc innotuit. Fragmentum lexici ap. Hermann. de em. gr. gr. rat. p. 344. Ἀναβάλλομαι — καὶ τὸ ἐνδύομαι, ὡς παρὰ τῇ θείᾳ γραφῇ, ὁ ἀναβαλλόμενος φῶς, ὡς ἱμάτιον.

ἀναπηδῦον] Codicis scripturam revocavimus, quam Burneius suo ἀναπηδῶν cedere iusserat. De verbo Alexandrinae aetatis proprio ἀναπηδύω, unde Schneiderus suum perperam fecit ἀναπιδύω, cf. Sturz. *de dialect. Macedon.* p. 146.

Καλλιμάχῳ] Haec versus particula inter fragm. 298. ex Eustath in Odyss. ψ. p. 813. eodemmodo citatur.

ἐξ οὗ καὶ λέβης ἀμβολάδην ζέων] Respicit Philemo Iliad. φ, 362. Mox ἀμβλήδην γοόωσα est χ, 1476.

ἀμβλωθρίδιον καὶ ἄμβλωμα, τὸ οἷον ἀναβληθὲν ἐκ τῆς μήτρας. καὶ τὸ ἀναβάλλειν σφαῖραν ἄνω· καὶ ἡ αὐτῆς εἰς ὕψος ἀναβολή. καὶ τὸ εἰς ἵππον ἀνάγειν, καὶ ἔποχον ποιεῖν· ὅθεν καὶ ἀναβολεὺς, οὐ μόνον τὸ σιδήριον, ᾧ τοὺς πόδας ἐντιθέντες ἔφιπποι γίνονταί τινες, ἀλλὰ καὶ ὁ ἄνθρωπος ὁ εἰς τὸ τοιοῦτον ἔργον καθυπουργῶν, οἷον τὸν βασιλέα ἐπὶ τὸν ἵππον ἀνέβαλεν, ἢ ἀνεβίβασεν. ἀλλὰ καὶ τὸ ἐνδύεσθαι, ἀναβάλλεσθαι λέγεται, καὶ ἀνατίθεσθαι τὸ ἔργον· ὅθεν καὶ ἀναβολὴ, ἡ ἀνάπαυσις· καὶ ἀμβολιεργὸς, ὁ ἀναπίπτων εἰς ἔργον· ἴσως δὲ καὶ ἄμβολα, τὸ ἀνάπαλιν τοῦ βάλλοντος ὀξέως, ὡς δοκεῖ ἀναβάλλεσθαι, οἷον τῇ ἐνδοτέρᾳ τομῇ.

52. ἈΝΑΓΚΑΖΩ· ἐπὶ ἐκουσίων μόνον· βιάζειν ἐπὶ ἀλόγων. οἷον ἐβιάσατο τὸ ῥεῦμα τοῦ ποταμοῦ τὴν ναῦν· ἀναγκάζω σε τοῦτο ποιεῖν, καὶ ἀναγκάζω σε τρέχειν. ὡς καὶ ἡ τύχη ἀναγκάζει τοὺς ἀνθρώπους πάντα ποιεῖν· σημειωτέον ὅτι τὸ ἀναγκάζω, ὁμοίως καὶ τὸ καταναγκάζω, καὶ ἀπαρεμφάτῳ συντάσσεται, αἰτιατικὴν ἐφελκόμενον· ὡς τὸ ἀναγκάζω σε λαβεῖν βιβλίον· μετὰ χρείας ἀμφοτέραις, τοῦ τε ῥήματος καὶ τοῦ ἀπαρεμφάτου, τῆς αἰτιατικῆς ἐχομένης. οἷον ἀναγκάζω σε λαβεῖν βιβλίον, καὶ λαβεῖν μαθεῖν.

ἐνδοτέρᾳ] Cod. et Phav. ἐνδοτέρᾳ.

52. Phav. h. v. p. [illegible] Hinc e loco supple Thomam M. h. v. p. [illegible] sq. ed. v. [illegible]

ἀμφοτέροις] sic Barz. e Phav. Cod. ἀμφοτέραις quid si ἀμφοτέρων?

33. ἈΝΑΔΕΙ͂· τὸ ἀναπλέκει, καὶ στέφει. καὶ ἀναδεῖσθαι, στεφανοῦσθαι. καὶ ἀναδεῖσθαι, τὸ ταινιοῦσθαι νικῶντα· ὡς τὸ ἀναδήσειν στεφάνῳ χρυσοῦ πεποιημένῳ καὶ ἀναδεῖν παρὰ τῷ Ἀριστοφάνει, ταὐτὸν τῷ στεφανοῦν. ἐξ οὗ ἀνάδετος, γυναικεῖος κόσμος, ὃς καὶ ἀναδέσμη λέγεται. ἔχει δὲ ἀπεναντίον πρὸς τὸ ἀναδεῖν τὸ ὑποδεῖν, ἐξ οὗ ὑπόδημα. τὸ μέντοι διάδημα ἐπὶ κόσμου βασιλικοῦ τοῦ περιδεδεμένου δι' ὅλου τοῦ σώματος.

34. (33.) ἈΝΑΔΥΈΣΘΑΙ κατὰ τοὺς παλαιοὺς ἀπὸ ζῴων εἴληπται, ἃ προθύμως μὲν ἔχοντα δύεται ὑπὸ ζυγὸν, μὴ προθυμούμενα δὲ ἀναδύεται. καὶ ἄλλως δὲ ἔστιν εἰπεῖν, ὡς δύεσθαι μὲν καὶ καταδῦναι ὅμιλον, τὸ θαῤῥεῖν εἰς μάχην δηλοῖ, καὶ οὕτως εἰς βάθος αὐτῆς χωρεῖν. ἀναδύεσθαι δὲ τὸ ἄλλως ἀναχωρεῖν, ὁμοίως τοῖς καθ' ὑδάτων δυομένοις ζῴοις. καὶ ἀναδύεσθαι λέγεται ἐπὶ τῶν ἀπεκδυσαμένων καὶ εἰς ἀγῶνα ὁρμησάντων, εἶτα διὰ δειλίας ὑποφυγόντων τὸν ἀγῶνα, καὶ ἐκδυσαμένων.

33. Phav. h. v. p. 164,43. Aristophanis locus est e Plut. 589.

τὸ μέντοι διάδημα] Ita Cod. et Phav.: perperam Burn. τὸ μὲν τὸ διάδημα.

34. Seiunxi suadente ipso Codice haec Philemonis verba, quae nescio quo casu a Burneio antecedenti paragrapho iuncta sunt: necessario autem δὲ quod post ἈΝΑΔΥΈΣΘΑΙ e Codice Burneius ediderat, delendum erat. Alio etiam loco nostra reddit Phavorinus p. 164,32.

λέγεται τὸ ἀναδύεσθαι καὶ ἐπὶ τοῦ ἀνανεύειν ἐπὶ τῆς θαλάττης, ὃ ἐναντίον τοῦ καταδύεσθαι, οἷον καταδύεταί τις εἰς τὸν βυθὸν, καὶ ἀναδύεται ἐκ τοῦ βυθοῦ.

35. (34.) ἈΝΑΙΡΕΙΓ· ἐνεργητικῶς, ἀντὶ τοῦ φονεύειν. καὶ ἀναιρεῖ, ἐνεργητικῶς ὁμοίως ἀντὶ τοῦ ἐκβάλλει καὶ ἀφανίζει. καὶ ἀναιρεῖ, ἀντὶ τοῦ νικᾷ. Ἡρόδοτος: Ὀλύμπια ἀνῃρηκώς. καὶ ἀναιρῶ, τὸ

ἐπὶ τοῦ ἀνανεύειν] Cod. et Phav. τῶν pro τοῦ.

35. Phav. h. v. p. 167,12. 29. De h. v. Lexicon ined. cod. Paris. Reg. 2562. fol. 204. *recto*: Ἀναιρεῖσθαι λέγεται μὲν φονεύεσθαι καὶ ἀνατρεπεσθαι, ὡς τὸ ἀναιροῦνται νόμοι. λέγεται δὲ καὶ τὸ ἀναλαμβάνειν, οἷον ἀναιρεῖται στέφανον· καὶ ἀναιρεῖται μετὰ χεῖρας τὸ βιβλίον. Τὸ γὰρ αἱροῦμαι τὸ προκρίναι προλαμβανομένης τῆς προθέσεως διαφόρας σημασίας δηλοῖ· αἱρεῖσθαι γὰρ τὸ προκρίνειν καὶ μετὰ τῆς κατὰ προθέσεως· καθαιρεῖσθαι καὶ δηλοῖ τὸ καταβάλλεσθαι. Παραιρεῖσθαι τὸ παρασύρειν, ὡς Λιβάνιος· τὰ μέγιστα καὶ τιμιώτατα τῶν ἔργων, τὰ μὲν ἤδη παραιρούμενος. Ἀνθαιρεῖσθαι τὸ ἀντ' ἄλλου ἄλλο αἱρεῖσθαι, καὶ τρόπον τινὰ προκρίνειν, οἷον ἀνθαιροῦμαι ζωῆς θάνατον· καὶ ἀνθαιροῦμαι στρατείας λόγον. Ἀφαιρεῖσθαι τὸν ἄνθρωπον καὶ ζημιοῦν, διπλῆν σύνταξιν ἔχον, οἷον ἀφαιρεῖται τὸν ἄνθρωπον τῆς οὐσίας, ἀντὶ τοῦ ἀποστερεῖ· καὶ ἀφαιρεῖται τὴν οὐσίαν τὸν ἄνθρωπον. οὗ ὁ παρεληλυθὼς ἀφῄρημαι . . . . . ὢν καὶ ἐπὶ ἐνεργείας καὶ πάθους λαμβανόμενος.

φονεύει] Editum e Cod. φονεύειν ad Phav. mutavimus.

ἀφανίζει] Male e Cod. Burneius ἐκφανίζει: illud Phavorinus.

Ἡρόδοτος· Ὀλύμπια ἀνῃρηκώς] Codex Ὀλυμπίας, Burn. e Phav. Ὀλυμπίαν: at neuter recte, ex Herodoti loco corrigendus, qui est 6,36., ubi sine lectionis varietate: οὕτω δὴ Μιλτιάδης ὁ Κυψέλου Ὀλύμπια ἀνῃρηκὼς πρότερον τουτέων τεθρίππῳ. Graece enim dicitur Ὀλύμπια, vel Ὀλυμπιάδα ἀναιρεῖν, νικᾶν: cf. Valcken. ad Herodot. 6,70. Thucyd. 1,126.

μαντεύομαι· καὶ ἀναιροῦμαι, οὐ μόνον τὸ Φονεύομαι, ἀλλὰ καὶ τὸ ἀναλαμβάνω, καὶ τὸ ἀνέλκω, ὡς τὸ, ἀναιρεῖται τὸν βωμὸν, βαρὺ στενάξας· καὶ τὸ, πάντας εἰς ἔπαινον ἀνῄρηται. καὶ ἀναιροῦμαι, τὸ μαντείαν δέχομαι. Ἀριστείδης· πῶς οὐκ εὔλογον, καὶ πρόχειρον, παρὰ θεῷ κριτῇ σοφωτάτῳ ἀνῃρῆσθαι, ἤτοι μαντεύεσθαι. καὶ τὰ πράγματα· ἀναίρεσις, ὁ Φόνος· καὶ ἀναίρεσις, ἡ ἀνάληψις, οἷον ἀναίρεσις τῶν ὀστῶν, καὶ ἀναίρεσις τῶν κρεῶν.

36. (35.) ἈΝΆΚΕΙΤΑΙ· ἐπὶ ἱερῶν λέγεται ἀντὶ τοῦ ἀνατίθεται, οἷον ἀνάκειται δῶρον τῷ θεῷ

Lucian. Contempl. 17. T. 1. p. 514. Harmonid. fin. T. 1. p. 838. Neron. 2 T. 3. p. 637. Philostrat. V. Apoll. 5,7. p. 192., alii quos taedet enarrare omnes. Ennius Graecissans apud Cic. de senect. 5,14. *Sicut fortis equus — vicit Olympia*, ubi v. Gernhard. Contra in Lexico rhetorico, quod Bekkerus edidit *Anecd. Graec.* T. 1. p. 314 scriptum oportuit: Φιλάμμων: ὄνομα κύριον πύκτου Ἀθηναίου, ὃς ἐνίκα Ὀλυμπιάδι ἑκατοστῇ πεμπτῇ, ubi editum Ὀλυμπιάδα ἑκατοστὴν πεμπτήν.

καὶ ἀναιρῶ, τὸ μαντεύομαι] Hac significatione vox obvia in Lycurgi or. in Leocrat. p. 194. 211. T. 4. Reisk. Plutarch. Thes. 36. Mox τὸ ante φονεύομαι Burneius e Phav., credo, addidit.

βαρὺ στενάξας] Phav. βαρυστενάξας.

36. Phav. h. v. p. 168,12. Lexicon ined. cod. Paris. Reg. 2562. fol. 209. *verso*: Ἀνάκειται λέγεται καὶ ἐπὶ ἱερῶν ἀντὶ τοῦ ἀνατεθεῖται· οἷον, ἀνάκειται δῶρον Ἀπόλλωνι τὸ Ἡρακλέους τόξον· καὶ, ἀνάκειται ἀνδριὰς τῷ Ἡρακλεῖ· ἐξ οὗ καὶ ἀνάθημα ἀνάκειται, καὶ τὸ ἐπίκειται ἐπὶ κλίνης. ἀνάκειται καὶ ἐπὶ συμποσίου παρὰ τῇ θείᾳ γραφῇ πολλάκις. Κατάκειται ἐπὶ νοσούντων, ὅπερ δὴ καὶ κοινῶς λέγεται, ὡς καὶ Ἀριστοφάνης [Plut. 742.]

τὸ τοῦ βασιλέως διάδημα. ἀνάκειται καὶ τὸ ἐπὶ κλίνης κεῖται. λέγεται δὲ καὶ ἐπὶ συμποσίου, οἷον ἀνάκειται ὁ εὐωχούμενος σκώμμασιν, ἀντὶ τοῦ σκώπτεται. καὶ ἀνάκειται κύβοις, ἀντὶ τοῦ προσκειται ἰσχυρῶς.

37. (36.) ἈΝΆΣΣΩ· τὸ βασιλεύω, οὗ ὁ μέλλων, ἀνάξω· ὁ παρακείμενος, ἤναχα· ὁ μέσος, ἤναγα, καὶ καθ' ὑπερβιβασμὸν ἄνηγα. καὶ οἱ Δωριεῖς τὸν μὲν παρακείμενον μετάγουσιν εἰς ἐνεστῶτα, ἀνήγω, ἀνήγω, ἀπὸ τοῦ ἄνω, τοῦ σημαίνοντος τὸ ἀνύω, ἀνάσσω, ὡς πατῶ, πατάσσω. σαλῶ, σα-

οἱ δὲ κατακείμενοι [editt. οἱδ' ἐγκατακ.] παρ' αὐτῷ, πῶς δοκεῖς τὸν Πλοῦτον ἠσπάζοντο.

λέγεται καὶ ἐπὶ τῶν ἑστιωμένων ὁμοίως τῷ ἀνάκειται. Διάκειται λέγεται καὶ τὸ διάθεσιν ἔχει καὶ ἀντὶ τοῦ συμβαίνει, καὶ ἀντὶ τοῦ ἁπλῶς ἐστίν· ὡς αὐτὸς Ἀριστοφάνης [Plut. 600.] ὡς μὲν γὰρ νῦν ἡμῖν ὁ βίος διάκειται. λέγεται καὶ τὸ πρόσκειται, οἷον διάκειται πρός 'σε ὁ δεῖνα καλῶς. Παράκειται τὸ πλησίον ἐστὶν, ὡς καὶ Ἀριστείδης· παράκειται δὲ ταύτῃ τῇ χώρᾳ. παράκειται καὶ τὸ τοῦ δέοντος ἔξω γίνεται, οἷον ὁ τοῦ Τιμοκράτους νόμος παράκειται τῆς πόλεως, ἀντὶ τοῦ ἔξω τοῦ προσήκοντός ἐστιν. Ἀντίκειται τὸ ἐναντίως ἔχει τι πρὸς ἕτερον, οἷον ἀντίκειται τῷ πυρὶ τὸ ὕδωρ, ἀντὶ τοῦ ἐναντίον ἐστίν. ἀντίκειται καὶ ἁπλῶς ἀντιπρόσωπον κεῖται, οἷον τὸ κάτοπτρον τῷ προσώπῳ ἀντίκειται. Ἐπίκειται τὸ βαρέως ἐπιτίθεται καὶ ἐπεμπίπτει· ἐπίκειται καὶ τὸ ἐπάνω κεῖται τῆς κλίνης ἁπλῶς. ἐπίκειται καὶ τὸ παράκειται, ὡς καὶ Ἀριστείδης [Panathenaic. T. 1. p. 96. et p. 113. ed. Jebb.]· τὰς ἐπικειμένας νήσους ἀντὶ τοῦ τὰς παρακειμένας καὶ πλησίον οὔσας Reliqua maximam partem exedit aqua marina, quae hoc et aliis locis codicem misere pessumdedit.

37. Phav. h. v. p. 177,35. Similia Etym. M. p. 100,19.

λάσσω. καὶ παραλήγουσαν ἐπιδέχεται τὰ δύο σσ, τὸ ᾱ, ε̄, η̄, ῑ, ῡ, ω̄, ἄνευ τοῦ ο̄ μικροῦ. ὁ μέλλων ἀνάξω, πόθεν ἔχει τὸ ξ; ἡ δὲ τετάρτη διφορεῖται. ἔδει ἔχειν τὸ σ, καὶ μὴ τὸ ξ· εἰδέναι δὲ δεῖ ὅτι τὰ εἰς ζω̄ λήγοντα ῥήματα, εἰ μὲν ὦσι δισύλλαβα, πῆ μὲν διὰ τοῦ ξ ἐκφέρονται, οἷον κράζω, κράξω, πῆ δὲ διὰ τοῦ σ, οἷον κτίζω, κτίσω. εἰ δὲ ὦσιν ὑπερ δύο συλλαβὰς, ἀεὶ διὰ τοῦ σ· πλὴν τοῦ οἰμώζω, οἰμώξω· ὀλολύζω, ὀλολύξω· θρυλίζω, θρυλίξω. τὸ δὲ βαστάξω, καὶ νυστάξω, καὶ τὰ ὅμοια, Δωρικά ἐστι, κατὰ τροπὴν τοῦ σ εἰς ξ· τοῦ δὲ στενάζω ὁ ἐνεστὼς διφορεῖται· εὕρηται γὰρ καὶ στενάχω, ἀφ' οὗ καὶ στόναχος, καὶ στοναχή. καὶ πλὴν τοῦ αἰάζω αἰάξω. εἰ δὲ διὰ δύο σσ ἐκφέρεται ὁ ἐνεστὼς, ἀεὶ ὁ μέλλων διὰ τοῦ ξ· πλὴν τοῦ πλάσσω, πλάσω, τὸ ἐργάζομαι· ἱμάσσω, ἱμάσω, τὸ τύπτω· ἰνάσσω, ἰνάσω, τὸ δύναμιν παρέχω· ἐρέσσω, ἐρέσω, τὸ κωπηλατῶ· πάσσω, πάσω, τὸ ποικίλλω· καὶ λεύσσω, λεύσω, τὸ βλέπω.

38. (37.) ἈΝΕῤῬΙΧΩ͂ΝΤΟ· χερσὶ καὶ ποσὶ δρασσόμενοι ἀνήρχοντο. κυρίως τὸ τοῖς ποσὶ καὶ χερσὶ βιαζόμενον εἰς ὕψος ἀναβαίνειν, ἀναῤῥιχᾶ-

αἰάξω] Ita Burn. adstipulante Etymologo: Cod. et Phav. *αἰάσω*.

38. Phav. h. v. p. 190,47. Cf. Etym. Gudian. p. 52,52. 621,35. Suidas h. h. Eustath. in Odyss. ε. p. 1533,59. Plura Piersonus ad Moer. p. 63. sq.

σθαι ἔλεγον. Ἑλλάνικος· ἀναῤῥιχᾶται δὲ ὥςπερ πίθηκος ἐπ' ἄκρα τὰ δένδρα, τουτέστιν εἰς ὕψος

Ἑλλάνικος] Huius nominis opportunitate usus haud scio an rem alienam agam, in originem eius et prosodiam inquisiturus. Percrebuit enim nuper auctore Francisco Passovio in *Ephem. Litt. Jenens.* a. 1816 No. 15. p. 117., nova de nominis Ἑλλάνικος origine opinio multis, uti fando accepi, iisque viris eruditissimis probata, a nemine quod sciam adhuc refutata, quae quo speciosior videtur, eo cautius an firmo incedat pede videndum. Nomen enim proprium Ἑλλάνικος, ait censor acutissimus, eorum quum e numero sit, quae a gentilibus profecta mutato accentu in propria demum transierint, uti Ἄχαιος, alia, idque nomen Dorum ore pronuntiatum, non amplius iam pro epitrito quarto, quemadmodum ad vulgarem nominis etymologiam efferri solitum sit, haberi posse, sed pedem a maiori Jonicum potius explere. Cui tamen coniecturae, non sine quadam veritatis specie prolatae, id praecipue adversari auctor quum scite intelligeret, aliud exemplum adiectivi gentilis in κὸς desinentis desiderari quod idem proprium sit, ingenue ipse, simulac locus apud poetam aliquis inveniretur, unde de nominis accentu aliter constaret, statim relinquendam eam esse pronuntiavit. Qualis poetae auctoritas aliud quid quaerenti mihi sponte se obtulit in poeta quamvis pessimo, docto tamen homine, Joanne Tzetza, in cuius Posthomericorum versu 778. Hellanici nomen ita profertur:

κείνῃ νυκτὶ ὁ Λέσβιος Ἑλλάνικος ἀείδει.

Restat igitur tantummodo vocis, de cuius prosodia nemo amplius iam ambiget, indagare originem, quam ex Ἕλλην et νικᾷν duci, ipsum nomen prodit. Neque aliter rem habere puto, ita tamen ut quod proprie Ἑλληνόνικος efferendum fuerit, propter molestam auribus iterationem syllabae eadem consona incipientis suaviori et faciliori sono accommodatum sit; quod in aliis quoque vocabulis studiose factum observavimus, praesertim ubi consonae syllabam inchoatu-

ἀνέβαινε πρὸς δένδρα καὶ τοίχους. εἴρηται δὲ ἀπὸ τῶν ἀῤῥίχων, εἶδος δέ ἐστι κοφίνων, οὓς εἰώθασι

rae e liquidarum numero essent. Quam rationem Graeci sequuti, pro μονώνυχας maluerunt μώνυχας dicere, sexcenties in Homero obvium: v. Etym. M. p. 593,9. Apollonii Lex. Hom. h. v. p. 466. Toll., quos tamen Grammaticos ipsa collisionis caussa latuit. Eodem modo Attici, quamquam proprie ἡμιμέδιμνος dicendum fuisset, fecerunt ἡμέδιμνος; cui vocabulo, quum loco suo in Lexicis adhuc careat, auctoritas necessario afferenda est: Didymus ἐν τῷ περὶ τῆς παρὰ Ῥωμαίοις ἀναλογίας laudatus a Prisciano de ponderibus p. 1351. ed. Putsch. (p. 218. ed. Lindemann.) Ὥσπερ δὲ ἡμέδιμνον λέγουσιν Ἀττικοὶ ἀντὶ τοῦ ἡμιμέδιμνον, οὕτως καὶ οὗτοι σημέδιουμ, πλεονάζοντες τοῦ σ. Quam soni legem etiam in aliis vocibus iisdemque, quae mutis litteris componendae fuissent, alibi demonstraturi hoc unum hic addimus, saepe numero iustam ab ea pendere textus auctorum praesertim poetarum constituendi crisin. Cuius enim, ut exemplo in re nondum observata defungamur, aures ita obtusae sunt, quin absurdum lectionis sonum sentiat, quae Sophocli in Aiac. 377. pro genuina vulgata, licet paucorum librorum auctoritati insistente, novissime obtrusa est:

ἴδοιμί νιν νῦν, καίπερ ὧδ' ἀτώμενος.

— At eo, unde perfecti sumus, semel adhuc redeundum nobis est. Adnotare enim ex re erit, Passovii de nomine *Hellanici* sententiam diu iam ante eum in Batavia tritam et pervulgatam videri fuisse, quod ut demonstrem ad librum iuventuti studiosae utilissimum provoco, *Bibliotheca classica sive lexicon manuale* inscriptum, qui Daventriae iterum cura Hermanni Bosscha a. 1816 editus est; in cuius p. 226. legitur: „*Hellanĭcus*" et ante „*Hellanĭce*, Clyti soror, Alexandri M. nutrix, Curt. 8,10."

εἴρηται δὲ ἀπὸ τῶν ἀῤῥίχων etc.] Lexicon Bekkeri *Anecd. Graec.* T. 1. p. 446. Ἄῤῥιχοι: κόφινοι οἰσύϊνοι, οὓς ἀρσίχους οἱ Ἴωνες, θηλυκῶς δὲ οἱ Ἀττικοὶ τὰς ἀῤῥίχους φασίν: quo loco

διὰ σχοινίων ἀνιμᾷν. ἢ ἀπὸ τῶν ἀραχνῶν, καὶ ἔστιν οἷον ἀναραχνᾶσθαι· αἱ γὰρ ἀράχναι νήθουσι καὶ τὰς ἐναερίους ὁδούς. Ἀριστοφάνης· πρὸς ταῦτ' ἀναῤῥιχᾶται ἂν πρὸς τὸν οὐρανόν, περὶ τοῦ κανθάρου λέγων.

39. (38.) ἈΝΈΧΕΙΝ λέγεται μὲν μεταβατικῶς ἀντὶ τοῦ ἀναβαστάζειν, συντασσόμενον αἰ-

quis est qui pro ἀρσίκους, quod editor pro ἀῤῥίχους cepisse videtur, non videat legendum esse ἀρσενικῶς, quod una syllaba decurtatatum solemni scribarum compendio exarabatur? Id quod doceri Bekkerus poterat ab Etymologo M. p. 149, 29., diserte ita vocem exponente: Ἄῤῥιχοι δὲ λέγονται κόφινοι οἰσυΐνοι, οἷον ἀνάῤῥιχοι, οἱ τὰ ἀναιροῦντα ἔχοντες, τουτέστι τὰ βέλη· ἀρσενικῶς Ἴωνες, θηλυκῶς Ἀττικοί. Aelius Dionysius apud Eustath. p. 1533,58. ὅτι οἱ μὲν Ἴωνες ἀρσενικῶς τοὺς ἀῤῥίχους προφέρουσιν, οἱ δὲ Ἀττικοὶ θηλυκῶς. Cf. Tittmann. ad Zonaram h. v. T. 1. p. 294. Quem Etymologum cum reliquis Graecorum Lexicographis Bekkerus edendis Lexicis Seguerianis ea, qua par erat diligentia si adhibere voluisset, nae et sibimet ipsi et lectoribus melius providisset.

Ἀριστοφάνης] Pac. 70.

πρὸς ταῦτ' ἀνεῤῥιχᾶτ' ἂν ἐς τὸν οὐρανόν.

Qui Aristophanis locus mirum in modum in Philemone et in Etymol. Gud. l. c. corrumpitur, ibi ita scriptus: πρὸς ταῦτ' ἂν ἀναῤῥιχᾶται εἰς οὐρανόν. Caeterum nota vocem ἀναῤῥίχησις, quae Lexicis e Schol. Dionys. Thrac. p. 693. Bekker. accedit.

39. Phav. h. v. p. 192,16. Lexicon ined. cod. Paris. Reg. 2562 fol. 205. verso: Ἀνέχειν λέγεται μὲν μεταβατικῶς ἀντὶ τοῦ ἀναβαστάζειν, συντασσόμενον αἰτιατικῇ, οἷον ἀνέχουσι τὸν οἶκον οἱ κίονες· λέγεται δὲ καὶ ἀμεταβάτως καὶ δηλοῖ τὸ ἐπέχειν. Κατέχειν τὸ σφοδρῶς κρατεῖν καὶ φυλάττειν, οἷον κατέχει τις τὴν φρουρὰν, ἤγουν τὸ φρούριον, αἰτιατικῇ συντασσόμενον, ὡς καὶ Δημοσθέ-

τιατικῇ, οἷον ἀνέχουσι τὸν οἶκον οἱ κίονες. λέγεται δὲ καὶ ἀμεταβάτως, καὶ δηλοῖ τὸ ἐπέχειν. κατέ-

νης· τοὺς θεοὺς, οἱ τὴν χώραν κατέχουσι. Διέχειν τὸ διαστατεῖν καὶ διαλείπειν καὶ ἀφίστασθαι, οἷον τοσόνδε ὁ κίων τῆς ὀροφῆς διέχει. τρόπον τινὰ ὅπερ δηλοῖ, τὸ ἀπέχειν ἐπὶ τῶν ἐπιπέδων, τοῦτ' αὐτὸ δηλοῖ τὸ διέχειν ἐπὶ τῶν μετεώρων· καθά φησι καὶ Λιβάνιος· τὸν Ἀπόλλω μὲν εὐθὺς ἅτε καὶ μικρὸν διέχοντα τοῦ τέλους. Μετέχειν τὸ κοινωνεῖν καὶ συντάσσεται γενικῇ· μετέχειν καὶ τὸ μετὰ τινὰ ἔχειν τινὰ τὸ ὅλον, ὅπερ δὲ καὶ ὁ πρῶτος εἶχεν· ὡς τὸ, οὐ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοί· καὶ παρὰ Δημοσθένει· μετέχοντες τὴν αὐτὴν δόξαν τοῖς Λακεδαιμονίοις. Παρέχειν τὸ διδόναι καὶ ὀρέγειν· παρέχειν καὶ τὸ προΐσχεσθαι τὸ αὐτὸ καὶ παθητικῶς ἐκφερόμενον καὶ ἐνέργειαν σημαῖνον· οἷον παρέχω δὲ δείγματα τῆς πρός σε φιλίας τοσαῦτα· τοῦ μὲν ἐνεργητικοῦ παρὰ πολλοῖς καὶ παρὰ Λιβανίῳ· μετὰ τοῦ παρέχειν αὐτὸν αἰδέσιμον διάγων ἡσυχῇ. καὶ Συνέσιος· ἀλλ' ἐν ἀποθέσει τοιαύτῃ μέτριον ἑαυτὸν παρέσχε. τοῦ δὲ ἐπὶ πάθους μὲν γραφομένου, σημασίαν δ' ἔχοντος ἐνεργητικὴν, ἀεὶ παρὰ Πλάτωνι [Apolog. p. 20. E.]· τῆς γὰρ ἐμῆς εἰ δή τίς ἐστι σοφία, μάρτυρα ὑμῖν παρέξομαι τὸν θεὸν τὸν ἐν Δελφοῖς, ἀντὶ τοῦ παρέξω. Καὶ παρὰ Δημοσθένει [Olynth. 1. p. 11,13. T. 1. ed. Reisk., ubi ante Εὐβοέων articulus deest]· τὴν αὐτὴν παρεισχόμεθ' ἡμεῖς καὶ ὑπὲρ ἡμῶν αὐτῶν προθυμίαν, ἥνπερ ὑπὲρ τῆς τῶν Εὐβοέων σωτηρίας. Ἀντέχειν τὸ ἀντιτείνειν καὶ ἀντιβαίνειν καὶ ἀντικρούειν καὶ ἀποδυσπετεῖν, ὡς καὶ Δημοσθένης [Olynth. 1. T. 1. p. 16., ubi vulg. ἐὰν — ἀντέχῃ]· εἰ μὲν γὰρ ἀντέχει τὰ τῶν Ὀλυνθίων, ἀντὶ τοῦ ἀνθίσταται καὶ ἀντιτείνει. Ἐπέχειν τὸ ἐπιλαμβάνειν ἐπὶ τόπον καὶ χώραν· ὡς καὶ Ἀριστοφάνης· ἣν νῦν ἐπέχεις τὴν Ἑλλάδα· καὶ τὴν χώραν, φησὶ Συνέσιος, ἣν ἐπέχουσιν οἱ πολέμιοι. ἐπέχειν καὶ τὸ κωλύειν καὶ εἴργειν μεταβατικῶς αἰτιατικῇ· οἷον ἐπέχω σε τοῦ ὁδοῦ, καὶ ἐπέχω σε τῆς ὁρμῆς. ἐπέχειν ἀμετάβατον, ὡς τὸ, ὁρμώμενόν τινα εἶτ' ἐξεπίτηδες ἵστασθαι. Περιέχειν τὸ περιλαμβάνειν· οἷον περιέχει τὸ βιβλίον τήνδε τὴν ὑπόθεσιν· καὶ περιέχει ὁ κύκλος τοῦ ἄστεος σταδίους τόσους, εἴτε πεντήκοντα εἴτε ἑξήκοντα. Ἀπέχειν τὸ ἀφεστάναι, συντασσόμενον γενικῇ, οἷον τοσοῦτον ἀπέχω τοῦ ῥαθυμεῖν. Ἀπέχειν καὶ τὸ ἀπολαμβάνειν. Ὑπέ-

χειν δὲ, τὸ σφοδρῶς κρατεῖν, καὶ φυλάσσειν, οἷον κατέχει τις τὴν φρουρὰν, ἢ τὸ φρούριον· αἰτιατικῇ

χειν σημαίνει δύο, καὶ ἀμφότερα αἰτιατικῇ συντασσόμενα. ὑπέχειν μὲν γὰρ λέγεται καὶ τὸ ὑποτείνειν καὶ ὑπενδιδέναι, ὡς καὶ Λιβάνιος· καὶ ἥδιστα ὑπέχων τὰ ὦτα τῷ ῥεύματι τῆς γλώττης. ὑπέχειν καὶ τὸ ἁπλῶς διδόναι καὶ ἐκτείνειν, οἷον ἐπ' εὐθύνης καὶ δίκης ὑπέχει τις δίκην· ἢ εὐθύνην ἢ λογισμόν. Ὑπερέχειν τὸ περιεῖναι καὶ νικᾷν καὶ ὑπερφέρειν, συντασσόμενον γενικῇ καὶ αἰτιατικῇ· γενικῇ μὲν, ὡς Ἀριστείδης· ἀλλὰ καὶ τῶν οἱστισινοῦν πρὸς ἀλλήλους γενομένων ὑπερέχουσα· αἰτιατικῇ δὲ, ὡς Δημοσθένης· ὑπερεῖχε δ' ἐκείνους τῇ ῥώμῃ μὲν οὐδαμῶς. καὶ ὑπερέχω σου λόγοις, ἢ δόξῃ ἢ γένει· ὃ καὶ προέχω γράφεται Ἀττικῶς. Εἰσέχειν λέγεται ἐπὶ οἰκοδομῆς κυρίως, οἷον εἰσέχει πρὸς τὴν οἰκοδομὴν ὁ λίθος· καὶ εἰσέχει ὁ κόλπος, ἀντὶ τοῦ ὑφιζάνει. ᾧ ἐναντίον τὸ ἐξέχειν, ὃ δηλοῖ τὸ τῆς ὕλης οἱονεὶ προκύπτειν. Συνέχειν τὸ συνάγειν καὶ φυλάττειν καὶ συγκροτεῖν, οἷον τῇ ἐπιμελείᾳ καὶ συνέχει σπουδῇ, συνέχει τὸν οἶκον καὶ τὰ κατὰ τὸν οἶκον, ὡς καὶ Λιβάνιος· καὶ συνέχειν Ἀρισταινέτῳ τὴν οἰκίαν· καὶ παρὰ Δημοσθένει· πῶς γὰρ, ὅς γε ἃ δοκεῖ συνέχειν τὴν πολίτειαν, τὰ δικαστήρια καὶ τοὺς νόμους καταλύει. συνέχειν καὶ τὸ συσφίγγειν καὶ συλλαμβάνειν, κυρίως ἐπὶ τῶν ξύλων τῶν συνεχόντων τὸν τεῖχλον [sic] λεγόμενον. Προσέχειν τὸ προσκεῖσθαι, οἷον προσέχω λόγῳ καὶ ἀρετῇ κxὶ παιδείᾳ. Προέχειν τὸ ὑπερέχειν καὶ διαφέρειν· ὃ δὴ καὶ προείρηται. Ἀνέχεσθαι δὲ παθητικῶς λαμβάνεται ἀντὶ τοῦ φέρειν καὶ ὑπομένειν, ὡς τὸ, οὐκ ἀνέχομαί σου κοκκύζοντος ἢ ὑβρίζοντος εἰς μὲν τὸ πρόσωπον· ὡς ἐπὶ πολὺ γενικῇ, οἷον ἀνέχομαί σου κατηγοροῦντος καὶ βασκαίνοντος πρὸς δὲ τὸ πρᾶγμα αἰτιατικῇ. Κατέχεσθαι τὸ κωλύεσθαι καὶ κρατῆσθαι καὶ ἐμποδίζεσθαι. Παρέχεσθαι ταυτὸν τῷ παρέχειν, ὥσπερ δὴ καὶ προείρηται. Ἀντέχεσθαι δὲ οὐκ Ἀττικὸν καὶ σπάνιον. Ἔχομαι δὲ ἀντὶ τοῦ ἅπτομαι καὶ ἔχομαι ἀντὶ τοῦ κρατοῦμαι παθητικῶς. Ἐπέχεσθαι τὸ κωλύεσθαι. Περιέχεσθαι τὸ σφόδρα καὶ συντεταμένως ἔχεσθαί τινος καὶ ἀντιποιεῖσθαι, ὡς καὶ Συνέσιος· περιεχόμενος ἕκαστος, ὅτου ἂν λάβοιτο. Ἀπέχεσθαι τὸ φείδεσθαι καὶ ἀφίστασθαι. Ἐνέχεσθαι τὸ ὑπόδικον καὶ ὑπεύθυνον καθιστάναι· οἷον ἐνέχεταί τις τοῖς ἐγκλήμασιν.

συνταστόμενον, ὡς καὶ Δημοσθένης· τοὺς θεοὺς, οἳ τὴν χώραν κατέχουσι. διέχειν, τὸ διαστατεῖν καὶ διαλείπειν καὶ ἀφίστασθαι, οἷον ὁ κίων τῆς ὀροφῆς τοσόνδε τινα διέχει τρόπον· ὅπερ δηλοῖ τὸ ἀπέχειν. ἀνέχομαι δὲ παθητικῶς τρία σημαίνει· τὸ ὑπομένω· καὶ συντάσσεται κοινῶς μὲν γενικῇ· Ἀττικῶς δὲ αἰτιατικῇ. Ἰουλιανός· ἐβουλόμην μὲν γὰρ ἐθίζειν ἐμαυτὸν ἀνέχεσθαι τὸν ἀέρα, καὶ οὐκ ἀνέχομαι γυμνῇ τῇ κεφαλῇ τὴν θέρμην. τὸ ἀναβαστάζομαι· καὶ συντάσσεται δοτικῇ, ὡς τὸ, τοῖς κίοσιν ὁ δόμος ἀνέχεται. τὸ καταφρονῶ· καὶ συντάσσεται γενικῇ, ὡς τὸ, ἀνέχομαι τοῦ θράσους σοῦ, καὶ ἀνέχομαί σε λοιδορεῖν, καὶ σοῦ λοιδοροῦντος. καὶ ἀνέχω τὸν δεῖνα, ἤγουν ἀναφέρω. καὶ ἀνέχω, τὰς χεῖρας ἐπὶ εὐχῆς. ἀνέχω, τὸ τιμῶ καὶ στέργω. Σοφοκλῆς δοριάλωτον στέρξας λέχος ἀνέχει, Ἐξέχεσθαι τὸ ἐξαρτᾶσθαι καὶ ἐκκρεμᾶσθαι· οἷον ἐξέχεσθαι τῆς φιλίας τοῦ δεῖνος. Συνέχεσθαι ἐπὶ πάθους.

Δημοσθένης] Donec ipsum, quem Grammaticus spectarit, Demosthenis locum aliquis mihi monstraverit, similem alium conferre iuvabit, ex orat. de coron. p. 289. Reisk. εὐξαμένους καὶ θύσαντας τοῖς θεοῖς καὶ ἥρωσι, τοῖς κατέχουσι τὴν πόλιν καὶ τὴν χώραν τῶν Ἀθηναίων. Adde Lycurg. in Leocrat. (11.) p. 155. Reisk. T. 4. οὐδὲ τὴν ἐπωνυμίαν τῶν πατρῴων ἱερῶν φοβηθεὶς, ὅτι ἐκ τῆς πατρίδος αὐτὰ κινήσας, συμφεύγειν αὐτῷ, ἐκλείποντα τοὺς νεὼς καὶ τὴν χώραν, ἣν κατεῖχον, ἠξίωσεν.

Σοφοκλῆς] Aiac. 211,12.

λέγ᾽, ἐπεί σε λέχος δουριάλωτον
στέρξας ἀνέχει θούριος Αἴας.

Burneius δορυάλωτον.

ἤγουν τιμᾷ, καὶ στέργει. καὶ ἀνέχει μεταβατικῶς, ἀντὶ τοῦ ἀναβαστάζει. καὶ ἀνέχει, ἀντὶ τοῦ ἀναχαιτίζει καὶ ἀναστέλλει.

40. (39.) ἈΝΗΛΩΚΑ, ἈΝΑΛΩΚΑ, καὶ ἨΝΑΛΩΚΑ· τὸ ἐδαπάνησα, αἰτιατικῇ συντάσσεται, ὁμοίως καὶ ἐπίσης παρὰ τοῖς ῥήτορσι γραφόμενα· πλὴν τὸ μὲν ἀνήλωκα· καὶ ἠνάλωκα, γράφεται Ἀττικῶς, ἀνάλωκα δ' ἀναύξητον κοινῶς. ὁμοίως καὶ ἐπὶ τῶν παθητικῶν ἠνάλωται καὶ ἀνήλωται· ἃ καὶ αὐτὰ παραπλησίως τοῖς ἐνεργητικοῖς γράφεται, καὶ κατὰ τὴν αὐτὴν σύνταξιν.

41. (40.) ἈΝΤΙΒΟΛΩ͂· παρακαλῶ, αἰτιατικῇ συντάσσεται. Ἀριστοφάνης· στῆθ', ἀντιβολῶ σε· καὶ, ἀντιβολῶ σε, φράσον μοι τίνες εἰσίν. καὶ ἀντιβολῆσαι, ἀπαντῆσαι, καὶ μετασχεῖν. ἀπὸ τοῦ μολῶ μολήσω, μετὰ τῆς ἀντὶ προθέσεως, καὶ τροπῇ τοῦ μ̄ εἰς β̄, ἀντιβολήσω. σημαίνει δὲ καὶ τὸ συντυγχάνειν, καὶ ἱκετεύειν.

40. In Phav. non exstat. Verba ἠνάλωται καὶ post ἐπὶ τῶν παθητικῶν Philemoni restituimus, praebente Lexico ined. cod. Paris. R. 2562., ubi fol. 206. *verso* idem de diversis praeteriti huius formis praeceptum continetur. Quo etiam Lexico auctore copulam ante κατὰ τὴν αὐτὴν σύνταξιν delendam iudicaverim, nempe ex syllaba sequenti facile ortam.

41. Phav. h. v. p. 206,50

Ἀριστοφάνης] Prior eius locus est Plut. 444., alter Nubium 313.

42. (41.) ἈΝΤΙΤΆΤΤΩ καὶ ΠΑΡΑΤΆΤΤΩ· τὸ ἕτερον τοῖς πολεμίοις μαχόμενον διεγείρω, καὶ τάττω, αἰτιατικὴν καὶ δοτικὴν ἐφελκόμενον, οἷον παρατάττει τοὺς Θηβαιοὺς τῷ Φιλίππῳ. παρατάττομαι δ' ἐγὼ, κυρίως ἐπὶ πολέμου ἀντὶ τοῦ παρασκευάζομαι πολεμήσων. ὥςπερ δὲ καὶ τὸ ἀντιτάττω αἰτιατικὴν καὶ δοτικὴν καὶ αὐτὸ ἐπαγόμενον· ὁμοίως καὶ τὸ ἀντιτάττομαι, ταὐτὸ δηλοῦν τῷ παρατάττομαι. πλὴν τὸ μὲν παρατάττω καὶ παρατάττομαι εἴποις ἂν κυρίως ἐπὶ πολέμου καὶ πλήθους· τὸ δὲ ἀντιτάττω καὶ ἀντιτάττομαι, καὶ ἐφ' ἑνός. ἐπιτάττω, καὶ προςτάττω, τὸ αὐτό. ὅθεν καὶ ἐπίταγμα καὶ πρόςταγμα· πλὴν ἀκριβέστερον τὸ ἐπιτάττω καὶ ἐπίταγμα, ὡς καὶ Ἀριστείδης· ἔδοξεν ἀπάρξασθαι τοῖς τοῦ βασιλέως ἐπιτάγμασιν.

43. (42.) ἈΞΙΩ͂· τὸ παρακαλῶ, τὸ ἄξιον κρίνω, καὶ τὸ τιμῶ· ἀφ' οὗ ἀξιούμενος, ὁ τιμώμε-

42. Phav. h. v. p. 210,47.
ὥςπερ δὲ καὶ] Burneius δὴ pro δὲ, Phavorinum sequutus.

43. Phav. h. v. p. 216,25. Lexicon ined. cod. Reg. Paris. 2562. fol. 207. *verso:* Ἀξιῶ τὸ ἄξιον κρίνω τινὰ πραγμάτων πολλῶν· καὶ ἀξιῶ σε τῆς ἀρχῆς, τουτέστιν ἄρχοντα εἶναι, αἰτιατικὴν καὶ γενικὴν παρεμφαῖνον. ἀξιῶ καὶ τὸ δέομαι, ἀπὸ αἰτιατικῆς εἰς ἀπαρέμφατον, ὡς καὶ Δημοσθένης· περὶ τούτου δ' ὄντος τουτοὶ τοῦ ἀγῶνος, ἀξιῶ καὶ δέομαι ἀκοῦσαί μου περὶ τοῦ κατηγορημένου ἀπολογουμένου. Demosthenis locus ab edito nonnihil discrepans, est de coron. 5. p. 227. Reisk.

νος· καὶ ἀξίωμα, ἡ τιμή. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· τὸ μὲν οὖν ἀξίωμα τοῦ παρόντος ἀγῶνος, ἤγουν μέγεθος· ὡς αὐτὸς καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς, ὡς ἐλευθερῶν τὴν Ἑλλάδα φέρεται. καὶ ἡ ἀξιωματικὴ παρὰ φιλοσόφοις, ἡ λεγομένη κοινὴ ἔννοια, οἷον ἀξιοῦσι πάντες τὸν οὐρανὸν σφαιροειδῆ εἶναι.

44. (43.) ἈΠΑΓΓΈΛΛΩ· τὸ μηνύω, καὶ διηγοῦμαι. δοτικῇ συντάσσεται. καὶ ἀπαγγέλλω, τὸ τὰ παρ' ἑτέρων εἰρημένα, ἢ γεγραμμένα, ἀπὸ στό-

Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ] Locus Aristidis non est in oratione Panathenaica, sed in Platonica 1. T. 2. p. 5. ed. Jebb. τὸ μὲν οὖν ἀξίωμα τοσοῦτον τοῦ παρόντος ἀγῶνος: nisi quidem Philemo adnotante Oudendorpio ad Thomam M. v. ἀξιῶ p. 79. Panathenaici respexerit T. 1. p. 125. καὶ τοσοῦτο τῆς νίκης τὸ ἀξίωμα, ubi e codd. Colleg. Nov. restitue τοσοῦτον.

ὡς αὐτὸς καὶ τὴν etc.] Hic locus non est Aristidis, ut credere deberes, sed Thucydidis 1,69. quod quum Burneium lateret, φέρεται quod Thucydidis est, Philemoni perperam tributum est. Ante ὁ αὐτὸς enim intercedisse videntur nonnulla, quibus alius Thucydidis locus citaretur; atque ea vere supplet Thomas Magister v. ἀξιῶ p. 79. ἀξίωσις δὲ οὐ μόνον ἡ παράκλησις, ὡς Θουκυδίδης ἐν τῇ τρίτῃ· καὶ οὐκ ἄδικος αὕτη ἡ ἀξίωσις· ἀλλὰ καὶ τὸ μέγεθος, ὡς ὁ αὐτός· καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς etc. Anteaquam hunc locum Philemoni contuleram, erat quum suspicarer ὡσαύτως legendum esse pro ὡς αὐτός.

44. Phav. h. v. p. 220,4., unde Philemoni mox δοτικῇ restitue pro Codicis scriptura γενικῇ, cuius vitium Burneii diligentiam effugit.

ματος λέγω. καὶ τὸ λέγω, ἢ φράζω, ἅπερ εἶδον καὶ γινώσκω.

45. (44.) ἈΠΆΓΕΙ· γενικῇ συντάσσεται, οἷον ἀπάγω τῆς ὁδοῦ, ἐμαυτὸν δηλονότι, ἀντὶ τοῦ ἐκτρέπομαι, καὶ τὴν ὁδὸν ταύτην ἐῶ. καὶ παρὰ Συνεσίῳ τῷ Κυζικηνῷ· καὶ ἀπάγεται ἐπὶ αἰχμαλωσίας· ὡς τὸ, ἤγετο περιηγμένος τὼ χεῖρε. καὶ ἐπὶ καταδίκων, οἷον ἀπάγεται τὴν ἐπὶ θάνατον. καὶ ἀπάγεται ἡ λεία. περιάγω δὲ τὼ χεῖρε, ἤγουν εἰς τοὐπίσω δεσμῶ. περιάγω καὶ τὸ πᾶσι καταφανῆ τινὰ ποιῶ. καὶ τὸ μακρὰν ποιῶ ἵστασθαι. καὶ

45. Phav. h. v. p. 220,7 et 9. Lexicon ined. cod. Paris. Reg. 2562. fol. 212. *recto:* Ἀπάγειν κυρίως ἐπὶ αἰχμαλωσίας καὶ ἐπὶ καταδίκων, οἷον ἀπάγεται τὴν ἐπὶ θάνατον· καὶ ἀπάγεται ἡ λεία. Καὶ ἤγετο περιηγμένος τὼ χεῖρε· περιάγω γὰρ τὼ χεῖρε, ἤτοι εἰς τοὐπίσω δεσμουμένω [e Philemone corrige δεσμῶ]· Περιάγω καὶ τὸ πᾶσι καταφανῆ ποιῶ τινά· καὶ περιενέγκατε παρὰ Συνεσίῳ εἰς τοιαύτην σημασίαν. Περιηγοῦμαι δὲ τὸ εἰς λεπτὸν διηγοῦμαι· ἐξ οὗ καὶ περιηγητὴς, ὁ κατὰ λεπτὸν διηγούμενος, ὡς παρὰ Λουκιανῷ [Dial. mort. 20. init. T. 1. p. 412.] περιηγῆσαί μοι τὰ ἐν Ἅδου.

Συνεσίῳ] Ipsa Synesii verba, quae Phavorinus affert sunt: ἄπαγε τοῦ νόμου.

ἐπὶ θάνατον] Legendum et hic et in citato Lexici inediti fragmento ἐπὶ θανάτῳ, collatis Schaefero *Meletem. Crit.* p. 109. seq. et Werfero in Thierschii *Act. Philol. Monac.* vol. 1. fasc. 1. p. 76. et fasc. 2. p. 266.

τὸ μακρὰν ποιῶ ἵστασθαι] E Cod. μακρὰν pro edito μακρὸν revocavimus: a Phav. plane absunt haec cum seq. Eandem vocabulorum confusionem adnotavit Lobeck. ad Sophocl. Aiac. 1029. p. 385. De μακρὰν vide etiam Sophocl.

ἀπάγει τοῦ δεῖνος τὸν δεῖνα, ἀντὶ τοῦ διϊστᾷ. καὶ ἀπάγει τὸν δεῖνα τῷ δεῖνι, ἀντὶ τοῦ κομίζει. καὶ ἀπάγει τὸν δεῖνα παρὰ τὸν δεῖνα. Ἡρόδοτος συλλαβόντες ἀπάγετε παρ' ἐμέ.

46. (45.) ἈΠΑΛΛΆΤΤΕΙΝ· λέγεται καὶ ἀντὶ τοῦ ῥύεσθαι καὶ λυτροῦν, γενικῇ συντασσόμενον, οἷον ἀπαλλάττω σε τῶν κακῶν· ἀπαλλάττειν καὶ

Trach. 964. Philoct. 26. Oed. T. 220. Erf. Aeschyl. Prom. 75. Eurip. Troad. 475. Seidl. Bion. Idyll. 2, 13.

Ἡρόδοτος] Locum adhuc quaero.

46. Phav. h. v. p. 222,32. Simillime Lexicon ined. cod. Reg. Paris. 2562. fol. 207. *verso*: Ἀπαλλάττειν λέγεται ἀντὶ τῦ ῥύεσθαι καὶ ἐκλυτροῦσθαι, συντασσόμενον γενικῇ, οἷον ἀπαλλάττω σε τῶν κακῶν· καὶ παρ' Ἀριστοφάνει [Plut. 115.]

ταύτης ἀπήλλαξά σε [Edd. ἀπαλλάξειν σε] τῆς ὀφθαλμίας. Ἀπαλλάττειν λέγεται καὶ τὸ διατρίβειν καὶ διαγίνεσθαι· ὡς καὶ παρὰ Ξενοφῶντι· ἀπήλλαττε δὲ μετὰ τῶν Σκυθῶν ὁ Κῦρος ἐν Ἰωνίᾳ [qui locus summo quaesitus opere in Xenophontis voluminibus meos adhuc effugit oculos]· καὶ παρ' Εὐριπίδῃ· ἀνάγκη πεινῆν διὰ βίȣ καὶ ἀπαλλάττειν, ἀντὶ τοῦ διατρίβειν.

ἀπαλλάττω σε τῶν κακῶν] De hoc dicendi genere v. Valcken. ad. Eurip. Phoen. 1084. Adde Phoen. 1028. Hecub. 1187.

καὶ τὸ διατρίβειν] Huic optimae Codicis et Phavorini lectioni non adsequor cur Burneius τρίβειν suum praetulerit, nisi ipse apographi a Burneio usurpati auctor h. l. lapsus esse putandus sit. Etiam Schol. Sophocl. Aiac. 1074. p. 419. Erf. ἀπαλλάττειν, τὸ ἐλευθεροῦν καὶ διάγειν: neque aliter Lexicon Parisinum modo allatum. At in praepositione διὰ ut his diebus, ita etiam olim a scribis saepenumero peccatum est, quod quum ubivis ab editoribus diligenter nondum animadversum sit, iuvat eorum in gratiam unum alterumque huius corruptelae exemplum hic apponere. Ita Demo-

τὸ διατρίβειν. Εὐριπίδης ἀνάγκη πεινῆν διὰ βίου καὶ ἀθλιώτερον ἀπαλλάττειν, ἤτοι διατρίβειν.

sthenis verbis de cor. 10. (p. 229. Reisk.) ἀλλ' ἐφ' οἷς ἀδικοῦντά με ἑώρα τὴν πόλιν, οὖσί γε τηλικούτοις, ἡλίκα νῦν ἐτραγῴδει καὶ διεξῄει, si alia haec eiusdem orat. 18. (p. 232.) confers, ἔστιν ὅπου σὺ, παρὼν, τηλικαύτην πρᾶξιν καὶ συμμαχίαν, ἡλίκην νῦν διετραγῴδεις καὶ διεξῄεις, ὁρῶν ἀφαιρούμενόν με τῆς πόλεως, ἠγανάκτησας, non repugnabis mihi, credo, illo loco nonnullorum codicum lectionem νῦν διετραγῴδει restituenti. Quod utroque enim loco Imm. Bekkerus, eo fortasse haerens quod vocabulo διατραγῳδέω nullum in Lexicis Graecis locum dari videret, edi iussit, νῦν δὴ ἐτραγῴδεις et νῦν δὴ ἐτραγῴδει, donec ipse unde sua habeat indicaverit, eaque eiusmodi contextus tenore satis vindicaverit, fortiter repudiabimus. Attamen ut verbum διατραγῳδέω in se quo offendat nihil habet omnino, analogia simillimi διακωμῳδέω satis firmatum, ita Demosthenis lectionem vulgatam νῦν ἐτραγῴδει negari non potest, si meliori careremus, tangendam minime esse, quum praesertim orator verbo simplici de fals. legat. p. 400. Reisk. similiter utatur. Simillimo modo corruptus est Philostrati locus, hic perpurgandus: editur Imag. 2,4. p. 414. Μητρυιὰ γὰρ Φαίδρα ξυνθεῖσα λόγον ἐπ' αὐτῷ [Hippolyto] οὐκ ὄντα, ὡς δὴ ἐρῷτο ὑπὸ τοῦ Ἱππολύτου, αὐτὴ δὲ ἄρα τοῦ μειρακίου ἤρα: ubi δὴ praeterea quod otiosum est omnino, eo quoque offendit, quod ὡς δὴ nobis quidem nonnisi participio iunctum occurrerit: exempla desideranti tibi affatim dabunt Valckenarius ad Herodot. 3,156. Heindorfius ad Platon. Gorgiam 54. p. 74. (p. 468. E.) Adde Sophocl. Philoct. 10,51. Erf. Platon. Charmid. 26. (p. 164. D.) Xenoph. Hellen. 1, 7, 8; licet ipso illo Gorgiae loco ὡς δὴ verbum finitum adsciscat, ita tamen ut protasin inchoet, quod notandum est quum alibi nonnisi in epitasi inveniatur: quae res diversi videtur esse generis. Jam non dubita Philostrato pro ὡς δὴ ἐρῷτο lectionem egregiam duorum

47. (46.) ἈΠΑΥΡΩ· τὸ ἀφαιροῦμαι, πρὸς αἰτιατικὴν συντάσσεται, συζυγίας δευτέρας τῶν περισπωμένων. ὁ παρατατικὸς, ἀπηύρων, ὡς ἐβόων· ἀφ' οὗ ἀπηύρα ἄμφω θυμὸν ἀπηύρα. καὶ ἀπηύρων, ἐπὶ τοῦ τρίτου τῶν πληθυντικῶν. γίνεται δὲ ἀπὸ τοῦ αὔρα. ἔστι γὰρ ἀπαυρᾶ, τὸ ἀνάπνευσίν τινος ἀφαιροῦμαι. ἐπαυρῶ δὲ τὸ ἐπισπῶμαι ἀνάπνευσιν. εἶτα ἀπὸ τούτων ἀπαυρῶ, τὸ ἀφαιροῦμαι ἁπλῶς· καὶ ἀπαυρῶ, τὸ ἀπολαύω.

48. (47.) ἈΠΕΜΠΟΛΩ ΣΟΙ ΤΟΝ ἼΠΠΟΝ εἴκοσι νομισμάτων. ὁμοίως πωλῶ, καὶ πι-

codd. Reg. Paris. 1760 et 1761. ὡς διεῤῥῶτο restituere, in quorum posteriori vel etiam glossa adiicitur, ποθεῖτο σφοδρῶς. De qua praepositionis διὰ in compositis vi cf. editores ad Vig. p. 589. seq. Caeterum voce διεῤῥᾶν auge Lexica. At horum iam satis!

Εὐριπίδης] Hunc locum in fabulis Euripidis, si eius quidem est, frustra quaesivi, neque inter eius fragmenta adnotatum reperi.

47. Phav. h. v. p. 227,43.

ἄμφω θυμὸν ἀπηύρα] Iliad. ζ, 17.

48. Phav. h. v. p. 238,43. De ipsius verbi ἀπεμπολᾷν, quod perperam olim ἀπεμπωλεῖν vel ἀπεμπωλᾷν ferebatur, scriptura post ea quae Porsonus *Notis brev. ad Xenophontem* p. LVII. disputavit, non amplius dubitabitur: quae Porsoniana si meminissent Adversariorum eius editores, fortasse p. 215. ed Angl. omissent, quae plenius accuratiusque ipso edente auctore viginti ante annis publici iuris fuerant. Caeterum cf. uberrimam Lobeckii notam ad Phrynich. p. 584., cui adde Procli Chrestom. p. 476. ed. Gaisford. Eumath. de amor. Ismen. 10. p. 440 ubi pro genuino ἀπεμπολῆσαι unus tantum Parisiensium codicum ἀπεμπωλῆσαι.

πράσκω, καὶ ἀποδίδομαι, καὶ ὠνοῦμαι, καὶ ἐπριάμην. καὶ ἀπεμπολὴ, καὶ ἀπεμπόλησις, ἡ μετὰ ἀπάτης πρᾶσις, καὶ ἐμπορία· καὶ ἀπόστασις, καὶ ἀπαλλαγή· καὶ πρᾶσις ἐμπορίας. καὶ ἀπεμπολῆσαι, τὸ ἐπὶ κέρδος ἀποδόσαι τί.

49. (48.) ἈΠΈΝΕΙΚΑ ἐκ τοῦ ἐνέγκω, τροπῇ τοῦ γ εἰς ι, ἐνείκω, ἔνεικα καὶ ἀπένεικα. ἔχει δὲ θέμα τὸ ἀπενείκω· ἐξ οὗ καὶ τὸ ἀπενεῖκαι ἀπαρέμφατον. καὶ τὸ, ἀνενείκατο, φώνησέν τε. σκευωρίαν δέ τινα τοιαύτην ἔχει τὸ ῥῆμα. ἔστι θέμα πρωτότυπον χῶ, τὸ χωρῶ, ἐξ οὗ τὸ ἔχω, ὡς θέλω ἐθέλω. καὶ Ἰωνικῶς ἔκω, καὶ πλεονασμῷ εἴκω, ὡς δέχω, δέκω, δείκω· καὶ μετὰ προθέσεως ἐνείκω, τὸ κομίζω· ἤδη δὲ καὶ ἔχω. ὃ γάρ τις κομίζει, πολὺ πρότερον ἐκεῖνο καὶ ὁπωσοῦν ἔχει. ἐκ δὲ τούτου, τὸ ἐνέγκω· τροπῇ τοῦ ι εἰς ν, ὡς ἐπὶ τοῦ αἰεὶ αἰέν. τὸ δὲ ῥηθὲν ἔχω, συντεθὲν καὶ γεγονὸς ἐνέχω, γεννᾷ μέσον παρακείμενον ἤνοχα, καὶ ἐνήνοχα. εἰ γάρ τις ἐρεῖ ἀπ' αὐτοῦ τοῦ ἐνέγκω ταῦτα γενέσθαι, ζητητέον οὐ μόνον ποῦ ἀπῆλθε τὸ ν, ἀλλὰ καὶ ποῦ εὑρέθη τὸ χ, δέον ὂν ἤνοκα, καὶ ἐνήνοκα λέγειν, ἵνα ᾖ πρὸ τοῦ α τὸ τοῦ ἐνεστῶτος σύμφωνον. εἶτα ῥητέον καὶ ὅτι τὸ ἐνέγκω οὐκ ἔστιν ἐνεστὼς, ἀλλ' αὐθυπότακτον ῥῆμα. τὰ

49. Phav. v. ἀπένεικας p. 231,1. Respicit Bastius *Epist. Crit.* p. 127.

ἀνενείκατο, φώνησέν τε] Iliad. τ, 314.

δὲ αὐθυπότακτα χρόνου ἀορίστου εἰσὶν ἢ πρώτου ἢ δευτέρου. ὥςπερ καὶ τὸ ἐνέγκω δευτέρου ἀορίστου ἐστὶ, καθὰ καὶ τὸ ἤνεγκον, καὶ τὸ ἐνεγκεῖν, καὶ ἡ ὀξύτονος μετοχὴ τὸ ἐνεγκών. ὅθεν καὶ τὸ ἔνεγκεν διὰ τοῦ ε ψιλοῦ, ὡς ἐπὶ τὸ πολὺ ἔχει τὴν λήγουσαν. εἰ δὲ καὶ διὰ διφθόγγου, διὰ τὸ ἤνεγκα, ὅμως διφορεῖται, ἀλλὰ τοῦτο οὐ δικαιοῖ τὸ ἐνέγκω εἰς πρωτοτύπου ἐνεστῶτος ἀξίωμα. οἱ γὰρ ἀόριστοι οὐκ ἐνεστῶτες. ἔτι δὲ καὶ ἡ σημασία τοῦ ἐνέγκω μέλλοντος. οἴδαμεν δὲ καὶ ὅτι σημειῶδές ἐστιν, ὅτι τῶν δύο τούτων ὁμοιοδυνάμων ῥημάτων, τὸ μὲν φέρω μέλλοντα οὐκ ἔχει, τοῦ δὲ ἐνέγκω οὐκ ἔστιν ἐνεστὼς, εἰ μὴ ἐκ τοῦ ἔχω περιεργασθείη, ὡς εἴρηται, ἡ τούτου παραγωγή. ἰστέον δὲ ὅτι ἐκ τοῦ ἐνείκω δοκεῖ γίνεσθαι καὶ ὁ παρὰ Αἰλίῳ Διονυσίῳ κείμενος προύνεικος, ἤγουν ὁ κομίζων μισθοῦ τινὰ φορτία ἐξ ἀγροῦ, ἢ ἐξ ἄλλου τόπου.

50. (50.) ἈΠΕΡῬΊΓΑΣΙΝ ἘΣ ΟἿΚΟΝ ΝΈΕΣΘΑΙ παρ' Ὁμήρῳ κεῖται, ὃ δηλοῖ τὸ δειλιῶσι καὶ φρίττουσι. περιττὴν ἔχει τὴν ἀπὸ πρόθεσιν, ὡς καὶ ἀπεμνήσαντο, καὶ ἀπεμηνίσαντο. μέσος δὲ παρακείμενος τὸ ἔῤῥιγα. συγκοπεὶς ἐκ τοῦ ἐῤῥιγήκασιν. ὁμοίως καὶ τῷ βέβουλα.

ὁμοιοδυνάμων] Hinc voci, quam dubia fide Schneiderus Lex. Gr. profert, auctoritas accedit.

50. Phav. h. v. p. 232,19. Homeri locus est Odyss. β, 52.

οἳ πατρὸς μὲν ἐς οἶκον ἀπεῤῥίγασι νέεσθαι.

51. (50.) ἎΠΕΣΑΝ· ἀπέλαβον. προπαροξύνεται δὲ, ὅτι πᾶν ῥῆμα εἰς αν λῆγον χρόνῳ βραχεῖ παραληγόμενον, ἁπλοῦν ἢ σύνθετον, ὅ ἐστιν ὑπὲρ δύο συλλαβὰς, προπαροξύνεται, εἰ μὴ Δωρικῶς εἴη· προπερισπᾶται δὲ, μακρᾶς οὔσης. ὅθεν τὸ μὲν ἄπεσαν τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν· τὸ δὲ ἀπῆσαν, οὐχ οὕτως.

52. (51.) ἈΠΕ'ΣΤΗ ΤΟΥ'ΤΩΝ, καὶ ἈΠΕ'ΣΤΗ ΤΟΥ'ΤΟΙΣ, καὶ ἈΠΕ'ΣΤΗ ἈΠΟ' ΤΟΥ'ΤΩΝ, οἷον ἀπέστη Μεσσήνη ἀπὸ Ἀθηνῶν. καὶ ἀπέστη Εὔβοια Ἀθηνῶν. καὶ μεσημβρίᾳ τούτοις ἀφεστήκασιν.

53. (52.) ἈΠΕΤΡΩΠΩ͂ΝΤΟ· ἐτρέποντο. δευτέρας συζυγίας ὂν τῶν περισπωμένων ἐκτείνει τὴν προπαραλήγουσαν, ὡς καὶ τὸ στρωφῶ, καὶ τὸ νωμῶ. ἐν δὲ τῇ πρώτῃ συζυγίᾳ συστέλλει αὐτὴν, ὡς δηλοῖ τὸ περιτροπέων ἐνιαυτὸς, καὶ τὸ, καλλίτριχες ἵπποι ἂψ ὄχεα τρόπεον.

51. Phav. h. v. p. 232,28.

52. Id. h. v. ibid. lin. 57.

Μεσσήνη] Cod. et Phav. Μεσήνη: illud numi satis firmant. Eckhel. *Doctr. Num.* T. 2. p. 275. V. etiam d'Orvill. ad Charit. p. 254.

μεσημβρίᾳ τούτοις ἀφεστήκασιν] Burneius nescio unde edidit μεσημβρίας τούτους ἀφεστήκασιν, renuente ipso contextus tenore. Codex μεσημβρίαι τούτοις ἀφεστήκασιν, unde apice translocato scripturam Philemoni restitui. De ἀφίσταμαι cum Dativo v. Thomam M. p. 133.

53. Phav. h. v. p. 233,53.

περιτροπέων ἐνιαυτὸς] Iliad. β, 295. Iuvat Arati locum

54. (53.) ἈΠΕΥΘΥΝΩ· τὸ ὀρθῶ. ἐπὶ τῆς ἀρχῆς, καὶ ἐπὶ τοῦ κανόνος, ὡς ὁ κανὼν ἀπευθύ-τὰ ἐξισάζοντα, καὶ ἀφαιρεῖ τὰ περιττά. καὶ ἀπευνειθύνω, τὸ ἀπὸ εὐθύνης ποιῶ, ἤτοι ἀνεύθυνον. ὑπευθύνω, τὸ τιμωρῶμαι, καὶ ὑπεύθυνον ποιῶ. εὐθύνη δὲ, ἡ τιμωρία. εὐθύνειν καὶ ἀπευθύνειν ἐπὶ τῶν ὀρθουμέναν λοξῶν λέγεται, καὶ ἐπὶ τῶν κυβερνωμένων νεῶν· καὶ ἀπὸ τούτων, κατὰ μεταφορὰν, ἐπὶ τοῦ κολάζειν, καὶ ἐπὶ τῶν ἄλλως διοικουμένων.

in transcursu hic apponere emendatiorem: editur Phaenom. 463. 464. vitiose

— τῶν κε μάλιστα ποθὴ ὀφιλός τε γένοιτο
μέτρα περισκοπέοντι πλανωμενάων ἐνιαυτῶν,

ubi iubente et metro et sententia posteriorem versum ita mecum corrigas:

μέτρα περισκοπέοντι περιπλομένων ἐνιαυτῶν.

Ex Odyss. α, 16. notum est περιπλομένων ἐνιαυτῶν. Iliad. ψ, 833. περιπλομένους ἐνιαυτούς. Quam formulam Guieto praeeunte restituerim Hesiodo Scut. Herc. 87., ubi vulgatae defendendae

— τάχα δ' ἄμμες ἐπιπλομένων ἐνιαυτῶν
γεινόμεθ', οὔτε φυὴν ἐναλίγκιοι, οὔτε νόημα.

Heinrichius frustra confert ex Odyss. η, 261. et ξ, 1287.

ἀλλ' ὅτε δὴ ὄγδοόν μοι ἐπιπλόμενον ἔτος ἦλθε,

quum ἐπιπλομένων ἐνιαυτῶν necessario aliud quid significet. Igitur scribe cum Guieto ἄμμε περιπλομένων ἐνιαυτῶν. Hesiodus etiam Op. et D. 386. περιπλομένου ἐνιαυτοῦ.

καλλίτριχες ἵπποι etc.] Iliad. σ, 224.

54. Phav. h. v. p. 234,6. Schol. Sophocl. Oed. T. 104. p. 163. Erf.

55. (54.) ἈΠΈΧΕΙ ΤΙ ΤΙΝΌΣ *σταδίους εἴκοσιν, ἢ τριάκοντα, ἀντὶ τοῦ κεχωρισμένον ἐστίν. ἀπέχει* Χαλκηδὼν Βυζαντίου *στάδια τοσαῦτα. καὶ ἀπέχει στάδιον, ἢ σταδίῳ, τῆς πόλεως. καὶ τὸ ἀφεστάναι, συντασσόμενον γενικῇ, οἷον τοσοῦτον ἀπέχω τοῦ ῥαθυμεῖν. ἀπέχειν καὶ τὸ ἀπολαμβάνειν, ὡς τὸ, ἀπέχω τὴν χάριν,* Καρνᾶς *ἱκέτης μοῦ γέγονεν. καὶ ἀπέχειν ἑκὰς νήσων, οὗ ἐναντίον τὸ προςίσχειν, ἤτοι ἐλλιμενίζεσθαι. ἐπεὶ καὶ ἐγγύτητα μὲν ἡ πρὸς πρόθεσις δηλοῖ· τὸ δὲ ἀνάπαλιν αὐτῆς, ἡ ἀπό. ἀπέχεσθαι δὲ, τὸ φείδεσθαι καὶ ἀφίστασθαι, γενικῇ* Ἀριστοφάνης· *οἴνου τ' ἀπέχεσθαι· ἀπέχεσθαι καὶ ἀλλοτρίων, ἀντὶ τοῦ ἀπέχου* Ἰωνικῶς· *καὶ ἀπέχω, τὸ ἀπολαβὼν ἔχω, αἰτιατικῇ, οἷον ἀπέχω τὸ κεχρεωστημένον, ἀντὶ τοῦ δανεισάμενος, εἶτ' ἀπολαβὼν αὖθις ἔχω.*

55. Phav. h. v. p. 234,25., qui mox *καὶ σταδίῳ* pro *ἢ σταδίῳ*, ut videtur, rectius.

ἀπέχω τὴν χάριν, Καρνᾶς etc.] Sunt verba Synesii, teste Lexici inediti fragmento in Cod. Paris. Reg. 2562. fol. 205. *verso*: Ἀπέχεσθαι λέγεται τὸ φείδεσθαι καὶ ἀπείργεσθαι, καὶ συντάσσεται γενικῇ· ἐνεργητικῶς δὲ ἀπέχω δηλοῖ τὸ ἀφίσταμαι, συντασσόμενον Ἀττικῶς γενικῇ. ἀπέχω καὶ τὸ ἀπολαβὼν ἔχω, συντασσόμενον αἰτιατικῇ· οἷον ἀπέχω τὸ κεχρεωστημένον ἀντὶ τοῦ δανεισάμενος· εἶτ' αὖθις ἀπολαβὼν ἔχω, ὡς Δημοσθένης· Θηβαῖοι μὲν ἀπέχουσι τὰ οἰκεῖα· Φωκεῖς δὲ ἅπαντα ἀπολωλέκασι. καὶ Συνέσιος· ἀπέχω τὴν χάριν· Καρνᾶς οἰκέτης μου γέγονεν.

ἀπέχω τὸ κεχρεωστημένον, ἀντὶ τοῦ δανεισάμενος] Fortasse sunt Aristophanis. *Χρήστας* ab Aristophane *τοὺς δανειστὰς* ad-

56. (55.) ἈΠΟΔΙΔΩΜΙ· ἈΦΟΣΙΟΥ͂ΜΑΙ· ἈΦΙΕΡΩ͂. τὸ μὲν ἀφοσιοῦμαι, καὶ ἀφιερῶ, ἐπὶ τῶν θείων ἁρμόττει· τὸ δὲ ἀποδίδωμι, καὶ ἐπὶ θείων, καὶ ἐπὶ τῶν καθ' ἡμᾶς λέγεται. οἷον, ἀντὶ τῶν ἀγαθῶν ἁπάντων τῶν ἐμοὶ γεγονότων παρὰ θεοῦ, ἀποδίδωμι χάριν τῷ θεῷ. καὶ ἀποδίδωμι, τὸ λαβών τι παρά τινος ἐπὶ χρείᾳ εἶτ' αὖθις ἀποδίδωμι τὸ ὀφειλόμενον. λέγεται δὲ καὶ παθητικῶς, ὡς τὸ ἀποδίδοται τὰ χρήματα. ἀποδίδομαι καὶ ἐπὶ ἐνεργητικῆς σημασίας τὸ πωλῶ. καὶ ἀποδίδωμι, τὸ προδίδωμι δωροδοκηθείς. Δημοσθένης· γίνεται τῶν πρέσβεων εἷς καὶ οὗτος, οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ἡμέτερα, οὐδὲ τῶν πεπιστευκότων τῷ Φιλίππῳ.

57. (56.) ἈΠΟΕΙΠΕ ἀντὶ τοῦ ἀπόφαθι. πᾶν προστακτικὸν δισύλλαβον, βραχυκατάληκτον, ἑνικὸν, ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, οἷον

pellari commonuit Scholiasta ad Nub. 241. Herm. Dein e Cod. et Phav. εἶτ' pro edito εἶτα dedimus.

56. Phav. h. v. p. 241,30. Mox Burn. καὶ ἀφιερῶ pro καὶ τὸ ἀφιερῶ, quod e Cod. et Phav. reposuimus.

ἁρμόττει] Quae verbi vis intransitiva in Lexicis nondum adnotata scriptoribus sequioris aetatis praesertim Grammaticorum cum maxime propria, tum non plane ab Atticorum usu abhorret: vide Erfurdt. ad Sophocl. Oed. T. 895. p. 124. ed. min. Heindorf. ad Plat. Sophist. 20. p. 300. Adde Aristot. Problem. 19,49. Dioscorid. Hist. Plant. 5,31. p. 337. et 2,207. p. 164. F.

λαβών] Cod. et Phav. λαβεῖν.

57. Phav. h. v. p. 243,5.

ἐλθὲ, πρόσελθε· βαῖνε, πρόβαινε. καὶ, ἀπόειπε κελεύθους θεῶν, Ὅμηρος αἰτιατικῇ συντάσσει, ἀντὶ τοῦ ἀπόφαθι· ὅπερ διασαφεῖ τόδε, μηδὲ πόδεσσιν ὑποστρέψειας Ὄλυμπον. ὁ δὲ γράψας, τάλαιν' ἀπεῖπον ἄλγει, ἐπὶ ἑτεροίου σημαινομένου τὴν λέξιν εἴληφε. καὶ ἀπόειπε, ἀπάρνησαι. ἀποείποι ἀντὶ τοῦ εἴποι εὕρηται, περιττῆς τῆς προθέσεως. κοινότερον μέντοι ἀπειπεῖν, ἢ τὸ ἀποφῆσαι, οἷον εἰπὲ ἢ ἀπόειπε, ὅμοιον ὂν τῷ φάθι ἢ ἀπόφαθι· ἢ καὶ ἄλλως, τὸ ἀπαγορεῦσαι καὶ μηκέτι ἔχειν τὶ εἰπεῖν, ὡς τὸ, τάλαιν' ἀπεῖπον ἄλγει. δῆλον δ' ὅτι τὸ ἀπειπεῖν καὶ ἀπείπασθαί ποτε λέγεται.

58. (57.) ἈΠΟΛΑΎΩ· τὸ καρπῶμαι, γενικῇ συντάσσεται. ἔστι δ' ὅτε λέγεται καὶ μετὰ αἰτιατικῆς, ἐμφαινομένης ἐκεῖ γενικῆς. καὶ ἡ μὲν γενικὴ τότε λαμβάνεται ὡς αἰτία, ἡ δὲ αἰτιατικὴ ὡς πρᾶγμα. ὡς τὸ, τοιαῦτα τοῦ παρόντος ἀπολαύομεν

Ὅμηρος Iliad. γ, 406.

θεῶν δ' ἀπόειπε κελεύθους
μηδέ τι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον,

ubi v. Heyn. Obs. T. 4. p. 537. Hinc mox μηδὲ pro μὴ δὲ scripsi.

ὁ δὲ γράψας, τάλαιν' ἀπεῖπον ἄλγει] Euripidem Noster citat, Hecub. 936. Pors.

58. Phav. h. v. p. 246,48.

ὡς τὸ] Phav. ὡς Λιβάνιος. Libanii esse sequentia quae laudantur verba doceor etiam ex Lexico ined. Cod. Reg. Paris. 2562, ubi fol. 60. *verso* haec habentur cum Philemonis verbis licet fere concinentia, tamen hic describenda

καιροῦ. ἰδοὺ γὰρ τῆς καιροῦ γενικῆς ὡς αἰτίας ληφθείσης, τὸ ῥῆμα ὡς πρᾶγμα τῇ αἰτιατικῇ συνετάχθη. λέγεται δὲ ἀπολαύω, τὸ τρυφῶ. καὶ ἀπολαύω τοῦ πλούτου, ἀντὶ τοῦ εὐδαιμονῶ. καὶ ἀπολαύω τιμῆς, ἀντὶ τοῦ εὐτυχῶ. καταπολαύω, τὸ καθ' ὑπερβολὴν καὶ ὑπὲρ χρείαν ἐμφοροῦμαί τινος. ὡς λέγεται χρῶμαι, καὶ καταχρῶμαι· καὶ ἀναλίσκω, καὶ καταναλίσκω. οἶμαι δὲ κάλλιον εἶναι κατὰ Ἀττικοὺς συντάσσεσθαι τοῦτο αἰτιατικῇ, ὡς Ἀριστοφάνης·

ἀγαθὸν γὰρ ἀπέλαυσ' οὐδὲν οὐδεπώποτε.

59. (58.) ἈΠΟΜΗΝΙΣΕΙ· ὀργισθήσεται. ἢ

quum Philemo hinc corrigatur: Ἀπολαύω συντάσσεται γενικῇ, ὡς καὶ Λιβάνιος· βολαίμην [sic: lege βουλοίμην] ἂν τῆς σῆς ἀρχῆς ἀπολαῦσαι τὸν ἄνθρωπον εἰς ἐπίδωσιν· ἔστι δ' ὅτε λέγεται καὶ μετ' αἰτιατικῆς, ἐμφαινομένης ἐκεῖ καὶ [dele hoc καὶ] γενικῆς· καὶ ἡ μὲν γενικὴ τότε λαμβάνεται ὡς αἰτία, ἡ δὲ αἰτιατικὴ ὡς πρᾶγμα· ὡς καὶ Λιβάνιος· τοιοῦτο τȣ̃ παρόντος ἀπολαύομεν [codex ἀπολάβομεν] καιρȣ̃· ἰδȣ̀ γὰρ τῆς καιροῦ γενικῆς ὡς αἰτίας ληφθείσης, τὸ ῥῆμα ὡς πρᾶγμά τι τῇ αἰτιατικῇ συνετάχθη. Λέγεται ἀπολούω καὶ τὸ τρυφῶ· καὶ ἀπολαύω πλȣ́τȣ ἀντὶ τοῦ εὐδαιμονῶ, καὶ ἀπολαύω τιμῆς ἀντὶ τȣ̃ εὐτυχῶ. Καταπολαύω δὲ τὸ καθ' ὑπερβολὴν καὶ ὑπὲρ χρείαν ἐμβαρȣ̃μαί [sic] τινος, ὥσπερ λέγεται καὶ χρῶμαι καὶ καταχρῶμαι, καὶ ἀναλίσκω καὶ καταναλίσκω.

καταπολαύω] E Cod. Burneius καὶ ἀπολαύω, quod auctore Lexici laudati fragmento commutavi.

Ἀριστοφάνης] Plut. 236., ubi consensu codicum editur:

ἀγαθὸν γὰρ ἀπέλαυσ' οὐδὲν αὐτοῦ πώποτε.

Nec tamen deterior esse videtur Philemonis lectio: v. Aristoph. Ran. 266. οὐδὲ μὴν ὑμεῖς γ' ἐμὲ οὐδέποτε.

59. Phav. h. v. p. 249,41.

περιττὴν ἔχει τὴν πρόθεσιν, ἢ κυρίως ἀπομηνίσαι, τὸ ἀποθέσθαι μῆνιν. ἀλλὰ ἐκεῖνο μὲν τὸ, ἀπομηνίσας Ἀγαμέμνονι, τὴν ἐπιμονὴν δηλοῖ τῆς μήνιδος· κεῖται γὰρ ἡ ἀπὸ πρόθεσις ἀργὴ, ὡς καὶ ὅτε τις λέγει ἀπομνημονεύειν χάριτος, ἐξ οὗ τὸ ἀπομνημόνευμα. οὕτω δὲ καὶ τὸ ἀπαντᾷν ἀδιάφορον πρὸς τὸ ἀντᾷν· καὶ τὸ ἄνδρα ἀπαμύνασθαι, ἀντὶ τοῦ ἀμύνασθαι. ὅμοιον καὶ τὸ ἀπέχεσθαι, καὶ ἕτερα.

60. (59.) ἈΠΟΝΊΖΕΣΘΑΙ· ὃ καὶ νίπτεσθαι λέγεται, ὡς δηλοῖ τὸ, νίψεν ἀπὸ χρωτός. γίνεται ἐκ τοῦ νίζω, ὃ σημαίνει τὸ καθαίρω· ὅθεν καὶ νίτρον.

61. (60.) ἈΠΟΦΑΊΝΕΙΝ· τὸ δεικνύειν. λέγεται δὲ καὶ τὸ ἐξελέγχειν ἐπ' ἀληθείᾳ βεβαίως τινὰ κακοῦργον ἢ ψεύστην, ἢ μοιχὸν, ἢ ἕτερον τοιοῦτον. λέγεται δὲ ἀποφαίνειν καὶ τὸ παριστᾷν, οἷον τῷ τεκμηρίῳ τοῦτ' ἀποφαίνεις. καὶ ὡς παρ' Ἀριστοφάνει ἐν Νεφέλαις·

κἀποφανῶ γε νὴ Δία,
ὡς ἐν δίκῃ σ' ἔτυπτον.

καὶ ἐν Πλούτῳ· κἂν μὲν ἀποφήνω μόνην ἀγαθῶν

ἀπομηνίσας Ἀγαμέμνονι] Iliad. β, 772.

60. Phav. h. v. p. 250,54.

νίψεν ἀπὸ χρωτός] Iliad. κ, 575.

61. Phav. h. v. p. 259,11.

Ἀριστοφάνει ἐν Νεφέλαις] V. 1335. Herm. Lexici ined. Cod. Paris. Reg. 2562. fol. 205. *verso*, ubi similia de h. v. afferuntur, lectio ἐνδίκως pro ἐν δίκῃ in censum vix venerit.

ἐν Πλούτῳ] V. 468,69.

ἁπάντων αἰτίαν ἐμέ· ἀντὶ τοῦ δείξω, καὶ παραστήσω. καὶ ἀποφαίνομαι, τουτέστιν ἀποφαντικῶς λέγω, λαμβάνεται ὄντος, καὶ μὴ ὄντος, οἷον ἀποφαίνομαι ὅτι ἔστιν ἐν ἐμοὶ μῖσος πρὸς τὸν φιλούμενον, ἢ οὐκ ἔστι. καὶ ἀπεφήναντο οἱ δικασταὶ ψῆφον καταδικάζουσαν, ἢ σώζουσαν. καὶ τὸ πρᾶγμα, ἀπόφασις. ὅπερ ἐξ Ὁμήρου εἴληπται εἰπόντος,

ἀντικρὺ δ' ἀπόφημι, γυναῖκα μὲν οὐκ ἀποδώσω.

τὸ γὰρ γυναῖκα οὐκ ἀποδώσω ἀπόφασίς ἐστιν, ὥςπερ κατάφασις τὸ ἀποδώσω γυναῖκα. ἀπὸ γοῦν τοῦ Ὁμηρικοῦ ἀπόφημι, παρῆκται τὸ ἀποφάσκειν καὶ ἡ ἀπόφασις. ἀπόφασις οὖν ἐστὶ λόγος, ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει. ἢ λόγος ἀποφαντικός τινος ἀπόντος, ἢ παρόντος. ἢ ἀνατροπὴ τῆς καταφάσεως, οἷον ὁ ποταμὸς οὐκ ἀνέρχεται. ὁ δὲ ἄρχων εἰςέρχεται. ἢ λόγος σημαίνων τι ὂν τίνι μὴ ὑπάρχει. τὸ δέ τι τίνι ὑπάρχει δηλοῖ τὴν κατάφασιν· τὸ δέ τι τίνι μὴ ὑπάρχει σημαίνει τὴν ἀπόφασιν. ἀπόφασις δὲ, καὶ πρότασις, καὶ πρόβλημα, καὶ ἔνστασις, καὶ συμπέρασμα, τὰ πέντε ταῦτα οὐδὲν κατὰ τὴν ὑπόστασιν ἀλλήλων διαφέρουσιν. ἡ δὲ διαφορὰ τούτων κατ' ἐπίνοιαν, ἢ κατά τινα

κὰν μὲν ἀποφήνω μόνην
ἀγαθῶν ἁπάντων ἔσαν αἰτίαν ἐμέ.

Ὁμήρου] Iliad. η, 362.

τινα γίνεται σχέσιν. ὅταν μὲν γὰρ ἁπλῶς ἀποφαίνωμαι, ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἀπόφασις λέγεται· ὅταν δὲ ὡς μέρος συλλογισμοῦ ληφθῇ, ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστι τὸ ἀθάνατον αὐτοκίνητον, τότε πρότασίς ἐστι τὸ λέγειν, ἡ ψυχὴ ἀθάνατος. ἡνίκα δὲ ἐνίσταταί τι πρὸς τὴν πρότασιν, ζητοῦν πόθεν δῆλον ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστι, τὸ τοιοῦτον ἔνστασις προσαγορεύεται· ἡνίκα δὲ πάλιν προτείνομεν εἰς ζήτησιν, ἆρά γε ἡ ψυχὴ ἀθάνατός ἐστι; καλεῖται πρόβλημα. ὅτε δὲ ἐκ προτάσεως συνάγεται, καλεῖται συμπέρασμα.

62. (61.) ἈΡΈΣΑΙ ἀντὶ τοῦ ἁρμοσθῆναι παρ' Ὁμήρῳ κεῖται, καὶ εἰς ἀρθμὸν καὶ φιλίαν ἐλθεῖν. ποιητικῶς δὲ τὰ πλείω τὸ ῥῆμα τοῦτο προφέρεται ἐνεργητικῶς. λέγεται δὲ καὶ παθητικῶς ἀπαρέσασθαι, καὶ ἀπαρεσάσθω. δηλοῦται δὲ καὶ διὰ τούτων τὸ εἰς φιλίαν συναρμοσθῆναι. οὕτω δὲ καὶ πειρήσω ἐνεργητικῶς, καὶ πειρήσομαι παθητικῶς. ὅρα δὲ καὶ τὸ ἄνδρ' ἀπαρέσσασθαι. αὐτὸ μὲν γὰρ

62. Phav. h. v. p. 271,56.

Ὁμήρῳ] Iliad. ι, 120. τ, 138.

ἄψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα.

ἀρθμὸν] Cod. et Phav. ἀριθμὸν, quod mutavit Burneius: iam in Hymn. Hom. in Merc. 524. habes ἐπένευσεν ἐπ' ἀρθμῷ καὶ φιλότητι.

ἀπαρεσάσθω] Respicere videtur Philemo Iliad. τ, 179. ἀρεσάσθω.

ἄνδρ' ἀπαρέσσασθαι] Est Iliadis τ, 183.

ἐλλιπῶς ἔχειν δοκεῖ. τὸ δὲ ἀπαρέσασθαι δώροις καὶ δαιτὶ, ἢ τοιούτοις τισὶν, ἐντελὲς εἶναι καὶ ἀνελλιπές. καὶ ἀρέσασθαι τὸ φιλικῶς θεραπεῦσαι, ἤγουν φιλοφρονήσασθαι. ὅθεν καὶ ἐρίηρες οἱ πρὸς φιλίαν ἡρμοσμένοι ἑταῖροι. καὶ ἀρθμὸς, ἡ φιλία. συντάσσεται δὲ μετὰ αἰτιατικῆς, ὡς δηλοῖ τὸ αὐτὸν ἀρεσάσθω, καὶ τὸν ξεῖνον ἀρέσομαι. ἐξ οὗ καὶ πρόσαρμα, ἡ τῷ σώματι προσφυὴς τροφή. καὶ ἀρέσαι ἐνεργητικῶς φησὶ τὸ φιλοφρονήσασθαι. καὶ τὸ ἀρήσασθαι δὲ, ἀντὶ τοῦ εὔξασθαι, ὁμοίας ἐστὶ δυνάμεως· καὶ γὰρ καὶ τὸ ἀρᾶσθαι ἁρμονία τίς ἐστι πρὸς τὸν θεὸν, ὥσπερ ἡ εὐχὴ, ἣν ὁ Αἰλιανὸς πρέσβυν φησὶ πρὸς θεὸν ἀδωρότατον.

63. (62.) ἈΡΈΣΚΩ ΤΙΝΙ͂ ἀντὶ τοῦ ἀρεστὸς αὐτῷ φαίνομαι, Ἀττικῶς μετὰ αἰτιατικῆς συντάσσεται, ὡς παρὰ Πλάτωνι· ἀλλ' εἰ μὴ αὖ σε ταῦτα ἀρέσκει. ἀρέσκομαι δὲ τινὶ, ἀντὶ τοῦ ἀποδέχομαι αὐτόν. καὶ ἀπαρέσκομαι, τὸ οὐκ ἀποδέχομαι. γίνεται δὲ ἐκ τοῦ ἀρέω, ἀρῶ, ὁ μέλλων ἀρέσω· καὶ, πλεονασμῷ τοῦ κ̄, ἀρέσκω· καὶ μετάγεται εἰς ἐνε-

τὸ δὲ ἀπαρέσασθαι δώροις] Confer Iliad. ι, 112,13.

ὥς κέν μιν ἀρεσσάμενοι πεπίθοιμεν
δώροισίν τ' ἀγανοῖσιν, ἔπεσσί τε μειλιχίοισι.

ἀρήσασθαι] Ita recte Burn. pro ἀρέσασθαι, quod Cod. et Phav. unanime servant.

63. Phav. h. v. p. 272,24. Platonis locus est e Cratyl. 19. p. 391. D. ubi receptam ab Heindorfio lectionem Noster iam confirmat.

στῶτα. ἰστέον ὅτι τὰ εἰς σκῶ λήγοντα ῥήματα βαρύτονα μέχρι τοῦ παρατατικοῦ κλίνονται, χωρὶς τοῦ θνήσκω, θνήξω· καὶ ἀλύσκω, ἀλύξω. τὸ γὰρ διδάξω, οὐκ ἀπὸ τοῦ διδάσκω, ἀλλ' ἀπὸ τοῦ διδάχω παράγεται.

64. (63.) ἈΡΚΕΙ͂ ἩΜΙ͂Ν ἈΡΙΣΤΉΣΑΣΙ λέγομεν, καὶ ἈΡΚΕΙ͂ ἩΜΙ͂Ν ἈΡΙΣΤΗ͂ΣΑΙ. καὶ ἄρκος παρὰ τὸ ἀρκῶ, ἡ ἐπαρκοῦσα ἑαυτῇ· φασὶ γὰρ αὐτὴν διαζῆν τοῦ χειμῶνος χωρὶς ἐπεισάκτου τροφῆς. ἄρκτος δὲ ὅτι ἀπὸ τῆς ἄρκου ἐγένετο, ἀρκτοῦρος καὶ ὁ ἐπὶ τῆς ζώνης τοῦ ἀρκτοφύλακος λαμπρὸς ἀστήρ, ἀπὸ τοῦ κατὰ τὴν οὐρὰν τῆς ἄρκτου.

65. (64.) ἈΣΚΩ͂ ΣΟΦΊΑΝ ἀντὶ τοῦ παιδεύομαι, ἢ ἰατρικήν, ἢ ἄλλην τινὰ ποιεῖν γυμνασίαν, αἰτιατικῇ συντάσσεται· καὶ ἀσκῶ ἕτερον, ἀντὶ τοῦ παιδεύω. κυρίως ἐπὶ γυμνασίας λέγεται, οἷον ἀσκῶ τὸν υἱόν, καὶ ἀσκῶ τὴν ἀρετὴν ἐξ ἁπαλῶν ὀνύχων.

64. Phav. h. v. p. 280,57.

διαζῆν] Cod. et Phav. διὰ ζῆν, quod ferri non posse ratus Burneius ζῆν διὰ edidit. Phavorinus mox τὸν χειμῶνα, idque, ni fallor, rectius.

65. Phav. h. v. p. 297,10.

γυμνασίας] Rectissime ita e Phav. Burneius pro inepta Codicis lectione γυναῖκας, illudque etiam simili contextu γυμνασίαν praebente Lexico inedito Parisino saepius laudato 2562. fol. 211. *verso*.

66. (65.) ἈΣΚΩΛΙΆΖΩ· ἐπὶ ἀσκοῦ πηδῶ. Ἀριστοφάνης·

ἀσκωλίαζ' ἐνταῦθα, πρὸς τὴν αἰθρίαν.

ἢ ἀσκωλιάζειν ἐστὶ, τὸ ἵστασθαι ἐφ' ἑνὸς ποδὸς ἐφαλλόμενον, ἢ ὑστερούμενον τῶν κατὰ φύσιν. εἴρηται παρὰ τὸ σκῶλον, ὅ ἐστι σκόλοπα, ἅλλεσθαι, ἀπὸ τῶν πατούντων σκόλοπα καὶ χωλευόντων. ὅπερ Ἐπίχαρμος ἐν τοῖς Πέρσαις σκωλοβατίζειν φησίν. σκωλιάζειν οὖν, καὶ κατὰ πλεονασμὸν, ἀσκωλιάζειν. τινὲς δὲ οὐ πλεονασμὸν ἡγοῦνται τὸ ᾱ· ἀλλὰ παρὰ τὸν ἀσκὸν γέγονε. κυρίως γὰρ ἀσκωλιάζειν λέγεται, τὸ ἐπὶ ἀσκῶν ἅλλεσθαι· ἢ ὡς πολλοὶ τῶν παλαιῶν φασὶν, τὸ ἐφ' ἑνὸς ποδὸς ἅλλεσθαι.

67. (66.) ἈΣΧΆΛΛΩ· κοινῶς, τὸ ἀγανακτῶ· ἀσχαλάω δὲ ποιητικῶς τὸ αὐτό· καὶ πλεονασμῷ τοῦ ō ἀσχαλόω. πλεονάζει δὲ ἐν τοῖς τοιούτοις ἐνίοτε μὲν τὸ ō μικρόν· ἐνίοτε δὲ, τὸ ω̄ μέγα. καὶ

66. Phav. h. v. p. 297,16. Vocem illustrarunt Tzetz. ad Hesiod. Op. 363. Ruhnken. ad Timaeum p. 51. Fischer. ad Plat. Symp. 15,2. p. 141 et Censor in *Ephem. Litt. Lipsiens.* a. 1812. No. 238. p. 1898.

Ἀριστοφάνης] Plut. 1130.

σκωλοβατίζειν] Ita Cod. et Phav. Burn. σκολοβατίζειν.

σκωλιάζειν οὖν, καὶ κατὰ πλεονασμὸν] Eiecto καὶ mecum potius legas σκωλιάζειν οὖν κατὰ πλεονασμόν.

67. Phav. h. v. p. 305,45., unde mox Burneius verba ἐνίοτε δὲ, τὸ ω̄ μέγα. καὶ τὸ μὲν ō μικρὸν, et mox καὶ τῶν πρώτων τῶν πληθυντικῶν, quae in Cod. desunt omnia.

τὸ μὲν ο̄ μικρὸν, ὅταν ἡ προηγουμένη συλλαβὴ βραχεῖα ᾖ· τὸ ω̄ μέγα, ὅταν μακρά. ἰστέον δὲ ὅτι ἐφ' οἷς τὸ ο̄ μικρὸν τοῦτο προστίθεται κατὰ συζυγίαν δευτέραν, ἐπὶ τῶν πρώτων προσώπων τῶν ἑνικῶν, καὶ τῶν πρώτων τῶν πληθυντικῶν, καὶ ἐπὶ τῶν τρίτων τοῦτο προστίθεται, ἔνθα δηλονότι τὸ ω̄ ἐστίν· ἐπὶ δὲ τῶν δευτέρων καὶ τρίτων τῶν ἑνικῶν, καὶ τῶν δευτέρων τῶν πληθυντικῶν, ἔνθα τὸ ᾱ ἐστὶν, οὐκέτι τὸ ο̄ προστίθεται, ἀλλὰ τὸ ᾱ, οἷον ὁρῶ, ὁρόω· ὁρῶμεν, ὁρόωμεν· ὁρῶσιν, ὁρόωσιν· ὁρᾷς, ὁράας· ὁρᾷ, ὁράᾳ. καὶ ὅτι ἐφ' ὧν ἡ προηγουμένη συλλαβὴ μακρά ἐστι, καὶ τὸ προστιθέμενον ᾱ μακρόν ἐστιν, οἷον μαιμᾷ, μαιμάᾳ. καὶ ὅτι τὰ τῆς τρίτης συζυγίας πάντα ἐφ' ὧν οὕτω τὸ ω̄ μέγα προστίθεται, προστιθεμένου ἤδη αὐτοῦ, βαρύτονα γίνεται, καὶ κατὰ τὰ βαρύτονα ἤδη κλίνεται, οἷον ἱδρῶ, ἱδρώω, ἱδρώεις· καὶ ἡ μετοχὴ ἱδρώοντος, ὡς τύπτοντος. ὑπνῶ, ὑπνώω, εις· ὑπνώοντος. καὶ βιῶ, βιώω. ὡσαύτως καί τινα τῆς δευτέρας· καὶ μάλιστα ἐφ' ὧν οὐκ ἔχει χώραν ἐπὶ τῶν δευτέρων. καὶ προσθήκῃ τοῦ ᾱ ὁμοίως προσλαμβάνοντα τὸ ω̄ εἰς βαρύτονα μετατίθεται, καὶ κατὰ τὰ βαρύτονα κλίνεται, οἷον ζῶ, ζώω, ζώεις, ζώει, ζώοντος. καὶ ἐπὶ παρατατικοῦ ἔζωον, ἔζωες, ἔζωε. ἡβῶ, ἡβώω· ἀφ'

καὶ κατὰ τὰ βαρύτονα κλίνεται] Haec verba a Burneii scriba omissa nos e Cod. et Phav. auctori nostro reddidimus.

οὗ τὸ ἡβώοιμι, κατὰ ταὐτὸν τῷ λέγοιμι. οὐκ ἀπὸ περισπωμένου ἦν ἂν ἡβώοιμι. τὰ δὲ τῆς πρώτης ὁμοίως ἔχει τῇ τρίτῃ. εἴ τι γὰρ ἀπ' αὐτῆς οὕτω γίνεται, εἰς βαρύτονον μετατίθεται συζυγίαν.

68. (67.) ἈΤΙΤΆΛΛΕΙΝ σημαίνει τὸ τιθηνεῖν, καὶ ἐκτρέφειν ἐκ τῶν νηπίων. ἔστι γὰρ ἀταλὸς, ὁ νήπιος, ὁ τλῆναι καὶ κακοπαθεῖν μὴ δυνάμενος. καὶ ἐξ αὐτοῦ ἀτάλλειν· καὶ ἀτιτάλλειν, κατὰ ἀναδιπλασιασμόν. καὶ ἀτιτάλλειν, τὸ ἀναπαύειν, καὶ ἁπαλῶς τρέφειν ὡς μὴ ταλάσσειν, ὅ ἐστι τάλανα τοῖς πόνοις εἶναι καὶ τλήμονα. ἵνα ᾖ πρῶτον τὸ ἀτάλλειν, ὅθεν καὶ ἀταλός· εἶτα κατὰ ἀναδιπλασιασμὸν, τὸ ἀτιτάλλειν. δῆλον δὲ ὥς τινες, λέγουσιν, ἀπὸ τοῦ ἄττειν καὶ ἄλλεσθαι τὸ ἀτάλλειν παράγουσι, τοῦ ἑνὸς τ ἀπελθόντος διὰ τὸ εὐφωνότερον. ἢ ἀτιτάλλειν, στερεῖν τοῦ ταλάσσειν, ἐξ οὗ τάλανες μὲν, οἱ ταλαοὶ, οἱ πολύπονοι· ἀταλοὶ δὲ, οἱ μὴ πονοῦντες.

69. (68.) ἈΤΎΖΩ· τὸ ταράσσω, παρὰ τὴν ἄτην γίνεται ῥῆμα ἀτῶ, οὗ παραγώγον ἀτύω, ὡς ὀλῶ ὀλύω, πλεονασμῷ δὲ τοῦ ζ, ἀτύζω, ὡς καὶ

ἀφ' οὗ τὸ ἡβώοιμι] Burneius e Phav. addidit ἀπὸ βαρυτόνου γὰρ τὸ ἡβώοιμι, quae quum a Cod. abessent, neque necessaria viderentur, delevimus.

68. Phav. h. v. p. 311,24.

69. Id. h. v. p. 316,20.

παρὰ τὸ ἀτίω ἀτίζω. οἱ δὲ κατὰ παραγωγὴν Αἰολικῶς φασὶ γίνεσθαι.

70. (69.) ΑΥ'ΧΕΙ͂Ν· τὸ ἀλαζονεύεσθαι, καὶ κομπάζειν. γίνεται ἐκ τοῦ αὐχῶ, τὸ εὔχομαι· ὅθεν καὶ αὐχήματα, σεμνολογήματα, κομπάσματα.

71. (70.) ΑΥ'ΧΜΕΙ͂ δὲ, ὁ ῥύπον ἔχων. γίνεται δὲ παρὰ τὸ αὔω, τὸ ξηραίνω, πλεονασμῷ τοῦ δασέος. καὶ αὐχμεῖν, τὸ ξηραίνεσθαι. Ἀριστοφάνης· πεινῆν, διψῆν, αὐχμεῖν, ῥιγοῦν.

72. (71.) ἈΦΑΙΡΩ͂· τὸ μέρος τὶ τοῦ παντὸς λαμβάνω. ἀφαιροῦμαι, τὸ ἀποστερῶ, καὶ ζημιῶ. διπλῶς δὲ συντάσσεται, οἷον ἀφαιρεῖται τὸν ἄνθρωπον τῆς οὐσίας. καὶ ἀφαιρεῖται τὴν οὐσίαν τὸν ἄνθρωπον. οὗ παρακείμενος ἀφήρημαι, ἐπὶ πάθους καὶ ἐνεργείας λαμβανόμενον· ὥσπερ τὸ εἴργασμαι· καὶ ἐώνημαι· καὶ ἀφεῖμαι· μέσοι γὰρ οὗτοι παρακείμενοι. ἀφήρημαι γὰρ καὶ ἀντὶ τοῦ ἐστερήθην, καὶ ἀντὶ τοῦ ἐστέρησα, καὶ συντάσσεται μετὰ αἰτιατικῆς, καὶ γενικῆς· μετὰ γενικῆς μέντοι, ὅταν μὴ ἔχων τὶ πρᾶγμα, δύναμαι δὲ τοῦτο κτήσασθαι, καὶ ἀμελήσας οὐ λάβω, οἷον ἀφήρημαι λόγων· ἀφήρημαι παιδείας. ταῦτα γὰρ οὐκ εἶχον, τὸν λό-

70. Similia idem h. v. p. 325,37.

71. Id. h. v. p. 325,53. Aristophanis locus est Nub. 440.

72. Idem h. v. p. 326,33. Vide Lexici ined. Parisini fragmentum ad §. 35. p. 246. editum.

γον φημὶ καὶ τὴν παιδείαν, δυνατὸν δέ μοι ἦν κτήσασθαι, καὶ διότι ἠμέλησα ᾽οὐκ ἔλαβον. ὅταν δὲ ἔχω τὶ καὶ τούτου στερηθῶ, τότε τὸ ἀφήρημαι συντακτέον αἰτιατικῇ, οἷον ἀφήρημαι τὸ ἱμάτιον· ἀφήρημαι τὰ χρήματα. καὶ ἀφαιροῦμαι ἐκεῖνον τὰ ὅπλα, ἀντὶ τοῦ ἀπ᾽ ἐκείνου λαμβάνω.

73. (72.) ᾽ΑΦΙ῾ΗΜΙ λέγεται ἐπὶ τοῦ ἐῶ, καὶ ἀπολύω, οἷον ἀφίημί σε ἐλεύθερον· καὶ ἀντὶ τοῦ καταλείπω, οἷον ἐν διαθήκῃ τις τόδε τοῖς ἑαυτοῦ ἀφίησι. καὶ ἀντὶ τοῦ πέμπω, οἷον ἀφίημι βέλος. καὶ ἀντὶ τοῦ καταγινώσκω τί τινος· ἢ εἰργόμενος ὑπό τινος, καταλιμπάνω αὐτὸ, οἷον ἀφίημι τὴν τῶν λόγων σπουδὴν, εἴργουσι γάρ μοι τὰ πράγματα. καὶ ἀφίημι τὴν ἐπιθυμίαν τῆς τροφῆς. καὶ ἀφίεμαί σε τοῦ χρέους, ἀντὶ τοῦ παραιτοῦμαι.

74. (73.) ᾽ΑΦΙΚΝΟΥ͂ΜΑΙ ἐπὶ ἐνεστῶτος. καὶ ἐφικνοῦμαι, ὡς ὑπισχνοῦμαι. καθικνοῦμαι δὲ γενικῇ συντάσσεται, οἷον καθικνοῦμαι τῆς κεφαλῆς τῇ ῥάβδῳ. καὶ ἐπὶ ἀορίστου ἀφίκωμαι, ἀλλὰ μετὰ τοῦ ἐάν, οἷον ἐὰν ἀφίκωμαι. καὶ ἐπὶ μέλλοντος ἀφίξομαι, καὶ ἐφίξομαι. ἀφίξομαι ἀντὶ τοῦ ἐλεύσομαι· ἐφίξομαι δὲ, ἀντὶ τοῦ ἅψομαι. ἀφίξαι δὲ μετοχῇ συντάσσεται, οἷον ἀφίξαι γελῶν, ἀφίξαι

73. Phav. h. v. p. 332,5.

74. Phav. h. v. p. 332,30. et 47.

γελάσων, καὶ δοτικῇ ἔστιν ὅτε συντάσσεται, οἷον ἀφίξαι ἡμῖν, καὶ ἀφίκετο ἡμῖν τὸ δεινόν. ποτὲ δὲ μετὰ τῆς πρὸς προθέσεως, οἷον ἀφίκετο πρὸς ἡμᾶς ὁ ἄνθρωπος, καὶ ἀφίκετο ὡς τὸν θεόν. ἰσοδύναμον τῷ ᾠχόμην ὡς τὸν θεόν.

75. (74.) ἈΦΙΣΤΑΤΑΙ· τὸ ὑπομένει, καὶ ἀνέχεται καὶ δέχεται. καθὸ καὶ Πίνδαρος· ἀφίσταμαι τόδε. καὶ ἀφίσταμαι, τὸ ἀπέχω, συντάσσεται γενικῇ, οἷον ἀφίσταμαι τοῦ ἔργου, ἢ τῶν πραγμάτων, ἀντὶ τοῦ μακρὰν εἰμί. ἀφίσταμαι καὶ τὸ ἐξίσταμαι· καὶ τὸ παραχωρῶ, συντασσόμενον ἀπὸ δοτικῆς εἰς γενικήν, οἷον ἀφίσταμαί σοι τῆς ὁδοῦ, ἀντὶ τοῦ παραχωρῶ. καὶ ἀφίσταμαι τῷ δεῖνι τοῦδε. κάλλιον ἢ παραχωρῶ.

B.

76. (75.) ΒΑΔΙΖΩ· τὸ ἁπλῶς περιπατῶ. βαδίζω πρὸς τὴν πόλιν, μεταβατικῶς, αἰτιατικῇ

75. Id. h. v. p. 333,4. De Pindari loco, quum an Olymp. 1,85. Philemo intelligi velit non statim pateat, in Boeckhii, apud quem summum stat in rebus Pindaricis iudicium, libenter acquiesco sententia, qui a me consultus, ea qua pollet sagacitate Pindari locum ex Olympicis laudatum statim vidit perperam huc traductum, ad sequentia Philemonis verba olim pertinuisse. Illud tamen τόδε unde provenerit, difficile fuerit dictu.

76. Similia Phav. h. v. p. 346,50.

συντάσσεται. καὶ βαδίζω τὴν ὁδόν. γίνεται δὲ παρὰ τὸ βάδος, ὃ σημαίνει τὴν ὁδόν. καὶ βαδίζει ὁ ἄνθρωπος, ἀντὶ τοῦ διέρχεται, ἀμετάβατον. καὶ βαδίζειν, οὐ βαδίίζειν, λέγομεν λόγῳ τοιούτῳ. τριῶν ὄντων διπλῶν, ζ, ξ, ψ, καὶ τριῶν διχρόνων, ᾱ, ῑ, ῡ, πᾶν δίχρονον διπλοῦ ἐπιφερομένου συστέλλεται· μάλιστα δὲ τοῦ ζ ἐπιφερομένου, οἷον φροντίζω, αὐγάζω, κουφίζω. οὕτως ἄρα καὶ βαδίζω, ἐβάδιζον, συνεσταλμένως, ὡς καὶ κουφίζω, ἐκούφιζον.

79. (76.) ΒΑ'ΛΛΕΙΝ· *οὐ τὸ ἀφεῖναι βέλος, ἀλλὰ τὸ ἐπιτυχεῖν, ὡς ἐπιτοπλεῖστον εὑρίσκεται παρὰ τῷ* Ποιητῇ. *δηλοῖ δέ ποτε καὶ τὸ καταῤῥίψαι. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ θεῖναι, ὡς τὸ, φιλότητα μετ' ἀμφοτέροισι βάλωμεν, ἤγουν θήσωμεν, καὶ, ἐν φρεσὶ βάλῃ, εἰς νοῦν δηλονότι θήσεις. ἐξ οὗ σύνθετον τὸ νουθετεῖν. καὶ βάλλειν, παρὰ τῷ* Ποιητῇ *ὡς ἐπιπολὺ, τὸ μακρόθεν ἀφιέντα βέλος τυγχάνειν τοῦ σκοποῦ. ἄλλως μέντοι ἀφιείς*

77. Id. h. v. p. 350,47.

φιλότητα μετ' ἀμφοτέροισι βάλωμεν] Iliad. δ, 16. Mox cum verbis *ἐν φρεσὶ βάλῃ* comparari possunt Iliadis *ἐνὶ φρεσὶ βάλλεο*, quae leguntur α, 297. δ, 39. ι, 607. π, 444. 851. Caeterum Codex *βάλε* pro *βάλῃ*, quod Burneius e Phav. edidit.

τις, καὶ μὴ ἐπιτυγχάνων, οὐκ ἄν ποτε κυρίως βάλλειν λεχθείη. καὶ βάλλειν ἁπλῶς, τὸ ἐπιτυγχάνειν. ὅθεν καὶ ἐπήβολος, ὁ ἐπιτυχεὶς λογισμοῦ. καὶ βουλὴ, ὡςανεὶ βολὴ, ἡ ἐπιτυχὴς σκέψις. σημαίνει δὲ τρία· τὸ προέσθαι· τὸ ῥίψαι· τὸ τρῶσαι. καὶ τοιαῦτά τινα ἐκ τῶν σημαινομένων τοῦ βάλλειν γίνονται, τὸ βέλος· καὶ ἡ βολίς· καὶ ἡ βολὴ, ἡ ἐπιτυχὴς δηλαδὴ καὶ εὔστοχος· ἀφ᾽ ἧς καὶ ἐπήβολος, ὁ τυχὼν πράγματός τινος, οἷον παρ᾽ Ὁμήρῳ, νηὸς ἐπήβολος. παρὰ δὲ τοῖς ὕστερον κατ᾽ ἐξοχὴν, ὁ συνετός· οἱονεὶ ὁ τοῦ κυριωτάτου ἐπιτυχὴς τοῦ φρο-

Ὁμήρῳ] Odyss. β, 319. Mutilum a fine est Lexicon, ut asteriscis adpositis significavimus, supplendum e Phav. p. 351,6., unde quae ad hanc vocem pertinent describimus: καὶ βάλλειν ἐν ἁπλότητι μέν ἐστιν, ὅτε δοκεῖ καὶ τὸ ἀπάγειν σημαίνειν, ὡς ἐν τῷ, βάλλ᾽ ἐς κόρακας [Aristoph. Nub. 134. idemque fabulae deperditae fragm. ap. Polluc. 10,42., ubi quin pro στρέφει legas τρίφει, non est quod dubites.] ἤγουν ἄπαγε εἰς ὄρη καὶ κρημνούς. καὶ βάλλ᾽ ἐς μακαρίαν [Aristoph. Equit. 1148. ἄπαγ᾽ ἐς μακαρίαν, ubi v Schol. collato Pausan. 1,32] ἤγουν ἄπαγε εἰς ὄλεθρον, ἢ εἰς ᾅδου, ἐπειδὴ οἱ νεκροὶ μακαρῖται λέγονται, ἢ καὶ ἄλλως, ἐπεὶ μακαρία ἡ Ἡρακλέους θυγάτηρ, ὅτε Ἀθηναίοις Εὐρυσθεὺς ἐπεστράτευσεν, ἑαυτὴν ἐπέδωκεν εἰς σφαγὴν ὑπὲρ σωτηρίας τῶν πατριωτῶν. ἐκ τοῦ βάλλω, καὶ ἐν συγκοπῇ βλῶ, καὶ κατὰ παραγωγὴν βλάξω, γίνεται βλὰξ βλακὸς, ὁ καταβεβλημένος, οἷον καὶ μὴ δυνάμενος ὀρθοῦσθαι διὰ τρυφὴν, ἢ καὶ συνήθειαν. ὅθεν καὶ βλὰξ ἰχθὺς τέλεον ἀχρεῖος, ὡς μηδὲν τι ζῷον ἐσθίειν αὐτοῦ. καὶ βλακεύματα, αἱ συνήθειαι. Ξενοφῶν δὲ βλακεύεσθαι ἔφη τὸ ῥᾳθυμεῖσθαι. De quo Xenophontis loco vide Sturzii Lex. Xenoph. T. 1. p. 538.

νεῖν. ἐκ τῆς βολῆς δὲ καὶ ὁ βολαῖος θύννος· καὶ ἡ βουλὴ, ἐπενθέσει τοῦ ῡ· καὶ ἡ συμβουλὴ, τὸ ἐπιτυχὲς σκέμμα. τρία δὲ σημαινόμενα τῆς βουλῆς· ὁ τόπος· οἱ βουλευταί· καὶ αὐτὸ τὸ περὶ οὗ ἡ σκέψις. βολῆς δὲ σύνθεσις ποιεῖ καὶ μεταβολὴν, καὶ ὑπερβολήν. καὶ βάλλειν ἐν ἁ * * *

LOCVTIONVM ATTICARVM
PHILEMONIS
NOMINE INSCRIPTARVM
FRAGMENTVM

E CODICE FLORENTINO
BIBLIOTHECAE LAVRENTIANAE
EXCERPTVM.

ΦΙΛΗ'ΜΟΝΟΣ.

Α.

Ἀφείλετε· ἀφείλατο βάρβαρον.
Ἀρτύεται, ὡς κονίεται.
Ἀπεργάσομαι, οὐκ ἀπέργωμαι.
Ἁλιεύομαι, οὐχ ἁλιεύω.
Ἀπονύχισον, οὐκ ὀνύχισον.
Ἀκούσματα, οὐκ ἀκροάματα.
Ἀποφοιτήσομαι.

Ἀφείλετο] Phrynich. Eclog. p. 185. cum doctissimi Lobeckii nota, cui addas Tho. Kiddium ad Dawesii *Misc. Crit.* p. 456. exempla proferentem, quibus quae de aoristorum primorum quorundam usu apud Atticos in dissert. *de Sophoclis Aiace* p. 52. 142. monuimus, etiam magis confirmantur. Nunc satis habeo locum Platonis indicare, Protag. 34. (p. 322. A.), quo codicis Parisini lectio εὕρατο pro εὕρετο futuro Platonis editori denuo perpensitanda erit.

Ἀρτύεται] Thomas M. p. 115. ed. Bern. Ἀρτύομαι, οὐκ ἀρτύω.

Ἁλιεύομαι] Thom. M. h. v. p. 36.

Ἀπονύχισον] De h. v. cf. Pierson. ad Herodian. p. 443.

Ἀκούσματα] Moeris p. 67.

Ἀνάθημα, οὐκ ἀνάθεμα.
Ἀκοντί· ἀπνευστί.
Ἀρτοπώλης.
Ἁρπασόμενος, οὐχ ἁρπώμενος.
Ἄπεισιν ȣ̓ δεῖ λέγειν, ἀπελεύσεται.

Ἀπῆς

